On the Composition of Drugs by Places: Book 1 by Galen of Pergamon

12.378 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Α.*

Ὅτι μὲν οὐ μόνον τὸ θεραπευόμενον πάθος ἐνδείκνυται τὴν θεραπείαν, ἀλλ᾽ ἥ τε τοῦ κάμνοντος κρᾶσις ἥ τε τοῦ πάσχοντος μορίου φύσις οὐ μικρὸν συνενδείκνυται, δέδεικται πρόσθεν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὥσπερ γε καὶ ὅπως ἄν τις ἐκ τῶν ἁπλῶν φαρμάκων σύνθετον αὐτὸς ποιοῖ διὰ συντόμου μὲν ἐν ἐκείνοις, πλατύτερον δ᾽ ἐν
12.379 τοῖς πρὸ τούτου βιβλίοις ἑπτὰ τὴν μέθοδον ἅπασαν ἐδήλωσα. νυνὶ δὲ τὰς καθ᾽ ἕκαστον μέρος τοῦ σώματος ἁρμοττούσας δυνάμεις φαρμάκων, ὅπως ἄν τις αὐτός τε κατασκευάζοι μεθόδῳ καὶ ταῖς ὑπὸ τῶν ἔμπροσθεν ἰατρῶν εὑρημέναις ὀρθῶς χρῷτο, πρόκειται διελθεῖν ἀπὸ τῆς κεφαλῆς ἀρξαμένοις, ὡς καὶ τοῖς πρὸ ἡμῶν ἅπασιν ἔδοξεν. συμβαίνει δ᾽ αὐτῇ τὰ μὲν πλεῖστα τῶν παθῶν κοινὰ τοῖς ἄλλοις πᾶσι μέρεσιν, τὸ δὲ τῶν τριχῶν πάθος ὀλίγοις κεκοινώνηται, διότι καὶ τὸ τετριχῶσθαι κατὰ πρῶτον λόγον οὐ πολλοῖς ὑπάρχει. γένεσις μὲν γὰρ ταῖς θριξὶν, οἵαπερ ἡ τῶν ἐκ τῆς γῆς φυομένων, ὡς ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἐδείχθη. καθάπερ δὲ ἐν τούτοις τὰ μὲν κατὰ τέχνην καὶ προαίρεσιν τοῦ γεωργοῦ, τὰ δὲ κατὰ τὰς φυσικὰς αἰτίας γεννᾶται, τὸν αὐτὸν τρόπον κἀν τοῖς τῶν ζώων σώμασιν ἀρούρᾳ μέν τινι πυροὺς ἢ κριθὰς ἤ τι τῶν ἄλλων δημητρίων σπερμάτων ἐν αὐτῇ φυομένων ἐχούσῃ τῆς κεφαλῆς ἐοικυίας, ταῖς δ᾽ ἄλλαις πόαις ὅσαι κατὰ τἀνώτερα χωρία φύονται τῶν ἐν ὅλῳ τῷ
12.380 σώματι τριχῶν ὁμοίαν ἐχουσῶν τὴν γένεσιν. οὐ γὰρ κατὰ πρῶτον λόγον ἡ φύσις αὐτὰς εἴωθε γεννᾷν, ἀλλὰ κατά τι συμβεβηκός. αἵ γε μὴν κατά τε βλέφαρα καὶ τὰς ὀφρῦς ἐδείκνυντο χρείαν οὐ μικρὰν παρέχουσαι τοῖς ζώοις. αἱ δ᾽ ἐπὶ τῶν γενείων τε καὶ τῶν αἰδοίων ἕνεκα μικροτέρων χρειῶν γεγονέναι δοκοῦσι, διὸ καὶ τὰ πάθη μάλιστα μὲν τῶν ἐν ὀφθαλμοῖς τε καὶ ταῖς ὀφρύσιν ἐπὶ τὴν ἑαυτῶν θεραπείαν ἡμᾶς προτρέπει, δεύτερα δ᾽ ἐπ᾽ αὐτοῖς τῶν κατὰ τὴν κεφαλὴν, εἶτα γενείων τε καὶ αἰδοίων. ἔστι δὲ τὰ πάθη τῶν τριχῶν ἥ τε παντελὴς ἀπώλεια καὶ ἡ κατὰ χρόαν ὑπαλλαγὴ, καθάπερ ἐν ταῖς καλουμέναις λεύκαις γίνεται, καὶ

πρὸς τούτοις ἐν ἀλωπεκίαις τε καὶ ὀφιάσεσιν οὐ μικρὰ καὶ ἀπρεπὴς ἅμα βλάβη γίγνεται τῶν τριχῶν. ἔνιοι μὲν οὖν ὑπέσχοντο καθάπερ ταύτας, οὕτω καὶ τὰς ἀρχομένας φαλακρώσεις κωλύειν αὐξηθῆναι. εἰσὶ δ' οἳ τοῦτο μὲν ἀδύνατον εἶναί φασιν, ἐπὶ δὲ τὴν τῶν ἀλωπεκιῶν τε καὶ ὀφιάσεων ἀφικόμενοι θεραπείαν ἔγραψαν φάρμακα δι' ὧν ἐπαγγέλλονται τελέως αὐτὰς ἰάσασθαι. καὶ δὴ καὶ χρώμενοι τοῖς
12.381 γεγραμμένοις ὑπ' αὐτῶν φαρμάκοις οἱ πολλοὶ τῶν ἰατρῶν οὐ μόνον ἀποτυγχάνουσιν ἐνίοτε μεγάλως, ἀλλὰ καὶ βλάπτουσιν ἰσχυρῶς, ὡς ἀνίατον ἐργάζεσθαι τὴν διάθεσιν, ὅπερ αὐτοῖς συμβαίνει καὶ κατ' ἄλλα φάρμακα πολλά, χωρὶς μεθόδου χρωμένοις. ἐγὼ δ' ὅπερ Ἱπποκράτης ἐκέλευσεν, ἀεὶ πεπείραμαι πράττειν ἐπὶ τῶν τῆς τέχνης ἔργων, ὡς τὸ προσφερόμενον βοήθημα, καθάπερ ἐκεῖνος ἔγραψεν, ὠφελέειν ἢ μὴ βλάπτειν. ὅτι δ' ἡ χωρὶς μεθόδου τῶν φαρμάκων χρῆσις οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ βλάπτει πολλάκις, ἔνεστί σοι μαθεῖν ἐντεῦθεν· ἤδη γὰρ αὐτοῦ τοῦ προκειμένου καιρὸς ἄρξασθαι.

Περὶ ἀλωπεκίας καὶ φαλακρώσεως καὶ ὀφιάσεως. Καθάπερ τῶν φυτῶν ἔνια μὲν ὑγρότητος ἐνδείᾳ διαφθείρεται ξηραινόμενα, τινὰ δ' ὑγροῖς ἀλλοτρίοις τῆς ἑαυτῶν φύσεως ὁμιλοῦντα, τὸν αὐτὸν τρόπον καὶ ταῖς θριξὶν ἤτοι δι' ἔνδειαν ὑγρῶν, ὑφ' ὧν τρέφεσθαι πεφύκασιν, ἢ διὰ φαυλότητα φθείρεσθαι συμβαίνει. δι' ἔνδειαν μὲν ὑγρῶν ἡ φαλάκρωσις γίγνεται, διὰ μοχθηρίαν δὲ χυμῶν ἀλωπεκία τε καὶ ὀφίασις, ἓν μέν γε
12.382 ἄμφω κατά γε τὴν νοσώδη διάθεσιν οὖσαι πάθος, ὀνόματα δ' ἐσχηκυῖαι διαφέροντα παρὰ τὸ σχῆμα. παραπλήσιον γὰρ ὄφει τὸ βεβλαμμένον μέρος τῆς κεφαλῆς φαίνεται κατὰ τὰς ὀφιάσεις· αἱ δ' ἀλωπεκίαι διὰ τοῦτο, ὥς φασιν, οὕτως ὠνομάσθησαν, ὅτι συνεχῶς γίγνονται ταῖς ἀλώπεξιν. ἡμεῖς δὲ διὰ τί μὲν ὠνομάσθησαν οὕτως οὐ ζητοῦμεν, ὅπως δὲ γίγνονται ζητήσαντες ὑγρῶν μοχθηρῶν περιουσίαν αἰτίαν εὕρομεν. ὁποῖα δέ ἐστι ταῦτα, διὰ τῆς χροιᾶς τοῦ τῆς κεφαλῆς δέρματος διαγνώσῃ. φαίνεται γὰρ ἐνίων μὲν ἐπὶ τὸ λευκότερον ἐκτρεπόμενον, ἐνίων δ' ἐπὶ τὸ μελάντερον ἢ ὠχρότερον, ὥστε καὶ κάθαρσιν πρῶτον ἐπ' αὐτῶν ἐργάσῃ τοῦ παντὸς σώματος, ἤτοι φλέγματος ἀγωγὸν δοὺς φάρμακον ἢ χολῆς ὠχρᾶς ἢ μελαίνης, ἐκ τῆς χροιᾶς τεκμαιρόμενος τὸν πλεονάζοντα χυμόν. ἐγὼ δ' ἀεὶ διὰ τῆς ἱερᾶς ἐκάθηρα, προσβαλὼν ἐνίοτε μὲν ἐλλεβόρου

μέλανος, εἰ μελαγχολικώτερον ἐβουλόμην ἐκκαθᾶραι χυμὸν, ἐνίοτε δὲ σκαμμωνίας εἰ πικρόχολον. εἰ δὲ φλεγματικώτερον ἐπικρατεῖν ὑπέλαβον, οὐδὲν ἔμιξα. τοὺς γὰρ τοιούτους, καὶ μάλιστα ἐκ τῆς κεφαλῆς, ἡ διὰ τῆς
12.383 κολοκυνθίδος ἱερὰ καθαίρειν πέφυκεν ἅμα τῷ καὶ ἄλλους τινὰς χυμοὺς δηλονότι, κἂν μὴ προσλάβῃ σκαμμωνίας ἢ ἐλλεβόρου μέλανος ἢ ἐπιθύμου, καὶ τὰ διὰ τῆς ἀλόης δὲ καταπότια τὰ καὶ τῆς σκαμμωνίας καὶ τῆς κολοκυνθίδος ἔχοντα, χρησιμώτερα καθαίρειν πέφυκε τοὺς οὕτω διακειμένους. μετὰ δὲ τὴν τοῦ ὅλου σώματος κάθαρσιν ἀποφλεγματίζειν ἄμεινον, εἶθ' οὕτως χρῆσθαι τοῖς τοπικοῖς βοηθήμασιν, ὑπὲρ ὧν τῆς συνθέσεως ἐρῶν ἔρχομαι. χρὴ γὰρ ὥσπερ ἐπὶ τῶν ἄλλων παθῶν, οὕτω καὶ ἐπὶ τούτων ἰᾶσθαι τὴν διάθεσιν, ἧς σύμπτωμά ἐστι κάκωσις τῶν τριχῶν. εἴπερ οὖν ἔστι τις κακοχυμία καθ' ἕνα τόπον ἠθροισμένη, σκοπὸς ἔσται τῆς ἰάσεως ἡ κένωσις ταύτης ὅτι τάχιστα, πρὶν εἴς τινα καχεξίαν ὑπ' αὐτῆς ἀχθῆναι τὸ δέρμα τηλικαύτην, ὥστε κἂν ἐκκενώσῃ τις αὐτοῦ τὴν κακοχυμίαν, ἐπιρρεῖν τε παρασκευάσῃ χρηστὸν αἷμα καὶ διαφθείρεσθαι τοῦθ' ὑπὸ τῆς ἐν αὐτῷ κατασκευασθείσης καχεξίας. εἴπερ οὖν ἐκκενῶσαι πρόκειται τὴν ἐν τῷ δέρματι κακοχυμίαν, διαφορητικῶν φαρμάκων ἐστὶ χρεία, καίτοι τάχ' ἄν τις ἀντερεῖ, τὸν κοινὸν σκοπὸν ἐπὶ
12.384 πάντων παθῶν ὅσα δι' ἐπιρροὴν ὑγρῶν γίγνεται καταφρονεῖσθαί τε καὶ ἀνατρέπεσθαι νομίζων. ἀποκρούεσθαι γὰρ αὐτὰ προσήκειν φαμὲν ἐμψύχοντάς τε καὶ στύφοντας τὸ μέρος, οὐχ ἕλκειν θερμαίνοντας, εἶναι δὲ τὰ διαφορητικὰ πάντα θερμὰ ταῖς δυνάμεσι. καὶ ἀληθῶς γε φήσομεν εἰρῆσθαι ταῦτα. τὰς γὰρ ἀρχομένας ὀφιάσεις ἢ ἀλωπεκίας κωλύειν αὐξάνεσθαι χρὴ τοῖς τοιούτοις φαρμάκοις, οὐ μὴν ἤδη γέ πω καλεῖσθαι τὴν ἀρχὴν αὐτῶν ἀλωπεκίαν ἢ ὀφίασιν, ὥσπερ οὐδὲ ψώραν ἢ λέπραν ἤδη τὴν ἐκ λειχῆνος ἀρχομένην. ἐγὼ γοῦν, ὡς ἴστε, καὶ τὰς ἤδη γεγονυίας ἀλωπεκίας ἰασάμην ἐνίοτε καθάρσει μόνῃ μηδὲν ἔτι φάρμακον μετ' αὐτὴν προσαγαγὼν τῷ πεπονθότι τόπῳ, προὐτράπην δ' ἐπὶ τῷ καὶ τούτου πλείονα πεῖραν ἔχειν ἔκ τινος τοιαύτης συντυχίας. νεανίσκος τις εὐέκτης τε καὶ γυμναστικὸς ἔσχεν ἐν τῇ κεφαλῇ τὸ πάθος τοῦτο. συνήθης δ' ἦν ἡμῖν ἱκανῶς, ὥστε καὶ τὴν δίαιταν αὐτοῦ γινώσκειν, ᾗ μηνῶν ἤδη τριῶν ἢ τεττάρων ἐκέχρητο, καθ' ἑκάστην σχεδὸν ἡμέραν ἐμπιπλάμενος μυκήτων. τοῦτον ἐκάθηρα μόνῃ τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ, δὶς ἐν

12.385 ἡμέραις πέντε, τὴν μὲν πρώτην κάθαρσιν ἐπὶ τέσσαρσι δραχμαῖς, τὴν δὲ δευτέραν ἐπὶ πέντε. πρὶν δὲ ἐπὶ τὰς καθάρσεις ταύτας ἐλθεῖν, ἔδωκα τῶν διὰ τῆς ἁλόης αὐτῷ καταποτίων ἕνδεκα, παραπλήσιά πως ἐρεβίνθοις τὸ μέγεθος. ἔχει δὲ ταῦτα τῆς μὲν κολοκυνθίδος ἓν μέρος, ἁλόης δὲ καὶ σκαμμωνίας ἑκατέρου δύο, τούτοις ἓν μέρος ἐγὼ μιγνύω χυλοῦ ἀψινθίου, πρότερον δὲ καὶ μαστίχης χίας ἔβαλον καὶ βδελλίου, οὕτω γὰρ ἐχρῆτο Κόιντος. ἀλλὰ διὰ τί περιεῖλον ὕστερον αὐτὰ λόγος ἕτερος, ὃν ἐν τοῖς περὶ τῶν καθαιρόντων φαρμάκων συνθέσεως ἐρεῖν ἀναβάλλομαι. μέλλοντος οὖν μου μετὰ τρεῖς ταύτας καθάρσεις ἀποφλεγματίζειν τὸν ἄνθρωπον, εἶτα χρήσασθαί τινι φαρμάκῳ κατὰ τοῦ πεπονθότος μορίου, συνέβη στείλασθαι αὐτόν τινα ἀποδημίαν ἐξαιφνίδιον, ἐν ᾗ διαιτώμενος εὐχύμοις ἐδέσμασιν, οἷς ἠκηκόει παρ’ ἐμοῦ μεθ’ ἡμέρας ὡς εἴκοσιν ὑπέστρεψεν ἐκτεθεραπευμένος τὸ περὶ τὰς τρίχας πάθος. ἐντεῦθεν οὖν ὁρμηθεὶς ἐγὼ τὴν αὐτὴν θεραπείαν ἐφ’ ἑτέρων ποιησάμενος ἀνέμεινα
12.386 θεάσασθαι χωρὶς τῶν ἐπιτιθεμένων τῇ κεφαλῇ φαρμάκων τὸ γενησόμενον. ἐθεραπεύθησαν οὖν πάντες οὕτως, οὐ μὴν ἐπί γε τῶν ἤδη κεχρονισμένων ἐπεχείρησα τῇ τοιαύτῃ πείρᾳ, δυσέκνιπτοι γὰρ ἐπὶ τούτων εἰσὶν οἱ ἐνιζηκότες ἰχῶρες τῷ δέρματι. πολὺ δὲ μᾶλλον ἐφ’ ὧν ἤδη καὶ αὐτὸ τὸ δέρμα καχεξίαν τινὰ ἔσχεν, οὐ χρὴ θαρρεῖν μόναις ταῖς καθάρσεσιν. ταυτὶ μὲν οὖν ἀναγκαίως μοι προείρηται· περὶ δὲ τῶν ὠφελούντων τὸ πάθος φαρμάκων ἄρξομαι λέγειν ἤδη. κενωτικὰ μὲν οὖν εἶναι χρὴ πάντως αὐτὰ τοῦ λυποῦντος χυμοῦ, κενοῦν δ’ οὐδὲν δύναται χωρὶς τοῦ διαφορητικὴν ἔχειν δύναμιν, ἔχειν δὲ αὐτὴν οὐ δύναται χωρὶς τοῦ θερμαίνειν, ἀλλ’ ἐὰν μὲν τῶν πάνυ θερμαινόντων ᾖ, καύσει τὸ δέρμα, καὶ χωρὶς δὲ τοῦ καίειν ἐν ἀρχῇ μὲν ὀνήσει γενναίως, ὑπερξηρανθὲν δὲ τῷ χρόνῳ τὸ δέρμα τῆς κεφαλῆς ἔσται τοιοῦτον ὁποῖον οἱ φαλακρωθέντες ἔχουσιν. οὐ μὴν οὐδ’ ἁπλῶς χρὴ μετρίως εἶναι τὸ φάρμακον θερμὸν, ἐντὸς τῶν ὅρων ἦκον τοῦ προκειμένου σκοποῦ. καὶ γὰρ καὶ λεπτομερὲς εἶναι προσήκει αὐτὸ, μέχρι γε τοῦ βάθους καταδύεσθαι μέλλον, ἐξ οὗ ταῖς τῶν τριχῶν ῥίζαις ἡ τῆς γενέσεως ἀρχὴ,
12.387 καὶ τῇ δυνάμει τοιοῦτον οἷον προείρηται πρὸς τὸ παχύτερον καὶ σκληρότερον εἶναι τὸ τῆς κεφαλῆς δέρμα καὶ διὰ τοῦτο φαρμάκου δεῖσθαι δραστικωτέρου. εἴγε μὴν πρὸς τῷ διαφορεῖν τοὺς μοχθηροὺς

χυμοὺς ἐπιτήδειον εἴη τὸ φάρμακον ἕλκειν αἷμα χρηστὸν, ὥσπερ ἡ θαψία, κάλλιστον ἂν εἴη τοῦτο. πολλῷ δ' οὔσης θερμοτέρας τῆς θαψίας ἢ κατὰ τὴν τοῦ πάθους χρείαν, εἰκότως ἄν τις αὐτὴν φυλαξάτω μόνην προσφέρειν. ἑλκώσεις τε γὰρ εἴωθεν ποιεῖν ἐν τῷ δέρματι καὶ πάντως γε φλεγμονώδη τινὰ οἰδήματα. διὰ τοῦτο οὖν ἐπὶ τὸ μιγνύειν αὐτῇ τινα παραγιγνόμεθα τῶν πραϋνόντων τὴν σφοδρότητα. δύναται δὲ τοῦτο ποιῆσαι κηρωτὴ δι' ἐλαίου σκευασθεῖσα. λεπτομερὲς δ' ἔστω τὸ ἔλαιον ὁποῖον τὸ Σαβῖνόν ἐστιν, ἄμεινον δ' εἰ καὶ συμμέτρως εἴη παλαιόν. ἀγαθὸν δὲ καὶ τὸ κίκινον ἔλαιον εἰς τοῦτο, φύσιν ἐξ ἀρχῆς ἔχον τοιαύτην ὁποίαν ἴσχει τὸ Σαβῖνον παλαιούμενον. εἰ δὲ μηδ' ἑτέρου τούτων εὐπορoίης, τῶν γοῦν ἄλλων τῶν Ἑλληνικῶν ἐλαίων ὁτιοῦν, ἄνευ θαλλῶν ἐλαίας ἐσκευασμένον μιγνύναι καὶ μᾶλλον ἐὰν ᾖ παλαιόν.

12.388 εὔδηλον οὖν ὅτι τό γε ἀπὸ τῆς Ἰβηρίας ἢ Ἱσπανίας, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, φευκτέον τό τε ἐκ μηδέπω πεπείρων ἀκριβῶς τῶν ἐλαιῶν, ὃ καλοῦσιν ὠμοτριβές τε καὶ ὀμφάκινον. ἐχρησάμην δὲ καὶ μόνῃ θαψίᾳ μίξει δαψιλοῦς ὕδατος, ἐκλύσας αὐτῆς τὸ σφοδρὸν τῆς δυνάμεως. ἐπίστασθαι δὲ χρὴ περὶ θαψίας τὸν χρησόμενον αὐτῇ μεγίστην εἶναι διαφορὰν τῆς προσφάτου πρὸς τὴν παλαιοτέραν. ἐκλύεται γὰρ ἡ δύναμις ἱκανῶς τοῦ φαρμάκου μετ' ἐνιαυτὸν, ἔτι δὲ μᾶλλον εἰ δυοῖν ἐτῶν γένοιτο· τολμήσειε δ' ἄν τις εἰπεῖν ἄχρηστον αὐτὴν γίγνεσθαι παντάπασιν εἰς τριετίαν ἐκταθεῖσαν. ἐπιστάμενος οὖν ταῦτα, τὴν μίξιν τοῦ ὕδατος ἄνισον ἐργάζου, τῇ μὲν προσφάτῳ μιγνὺς πάμπολυ καὶ διὰ τοῦτο πλεονάκις ἐπιχρίων ἑκάστης ἡμέρας, τῇ δ' ἀσθενεστέρᾳ διὰ τὸν χρόνον ἔλαττον, ὡς καὶ προσμένειν ἐπιπλεῖον δύνασθαι διὰ τὸ πάχος καὶ μὴ ἀπορρεῖν αὐτίκα δι' ὑγρότητα. καὶ μέντοι κἂν σύνθετον φάρμακον ποιῇς, ἔχον καὶ τῆς θαψίας, ὁποῖόν ἐστιν ᾧ συνεχῶς ἐγὼ χρῶμαι, μίξεις

12.389 οὐκ ἴσον ἀεὶ σταθμὸν τῆς θαψίας, ἀλλ' ὅσον τῷ χρόνῳ τῆς ἡλικίας προσήκει τοσοῦτον αὐξήσεις. διορισθήσεται δ' ἀκριβέστερον ἔτι περὶ τοῦδε μικρὸν ὕστερον, ὅταν ἐπὶ τὰ σύνθετα παραγένωμαι, διελθὼν πρότερον ὅσα τῶν ἁπλῶν φαρμάκων ἐστὶν οἰκεῖα τῷ πάθει τούτῳ. τῶν μὲν γὰρ ἰσχυρῶς θερμαινόντων ἐστὶν εὐφόρβιον, τῶν δ' αὐτάρκως τὸ δάφνινον εἴτ' οὖν ἔλαιόν ἐστιν εἴτε μύρον εἴθ' ὅ τι βούλει καλεῖν αὐτὸ, καὶ γὰρ καὶ τούτοις ὑπάρχει μετὰ τοῦ θερμαίνειν τε καὶ διαφορεῖν

ἐπισπᾶσθαί τι τοῦ αἵματος εἰς τὸν ὑπ᾽ αὐτῶν θερμαινόμενον τόπον. ἔνεστι γοῦν αὐτοῖς χρῆσθαι καὶ καταμόνας, τὸ μὲν εὐφόρβιον ἐν ἐλαίῳ λειοῦντα, τῷ δαφνίνῳ δ᾽ ἐπαλείφοντα μόνῳ χωρὶς ἑτέρου μίξεως. εἰ δ᾽ εὐαπόρρυτον φαίνοιτο, βραχὺ κηροῦ μιγνύσθω. παμπόλλῳ δ᾽ ὄντος θερμοτέρου τοῦ νέου εὐφορβίου, τῷ μὲν ἤδη δυοῖν ἢ τριῶν ἐτῶν ὄντι χρώμενος ἐμβαλεῖς ἐλαίου λίτρᾳ μιᾷ Ῥωμαϊκῇ οὐγγίαν μίαν εὐφορβίου, ὅπερ ἐστὶ δωδέκατον μέρος τοῦ ἐλαίου, τῷ δὲ νέῳ πεφεισμένως χρήσῃ
12.390 βραχύτατον μιγνὺς τὴν πρώτην ἢ καὶ κηροῦ προσεπεμβάλλων οὐγγίαν μίαν, ὡς θεάσασθαι πῶς ἐκθερμαίνει τὸν ἄνθρωπον. ἐξέσται γάρ σοι κατὰ τὴν δευτέραν χρῆσιν αὖθις ἐπεμβάλλειν, εἴτ᾽ ἐλαίου βουληθείης εἴτε κηροῦ. παραπλησίως δὲ καὶ τῇ θαψίᾳ χρηστέον ἅπασί τε τοῖς ἰσχυροῖς φαρμάκοις. ἡ μὲν γὰρ ἐπὶ τοὔλαττον ἁμαρτία βλάβην οὐδεμίαν ἔχει, τὸ δὲ πλέον ἐνίοτε τραχύνει καὶ ἑλκοῖ τὸ δέρμα καὶ φλεγμονὴν ἐργάζεται. καὶ μέντοι κἂν ἐπὶ τῶν ἐφεξῆς, κατὰ τὰ σύνθετα φάρμακα γράφηταί ποτε εὐφόρβιον ἢ θαψία, τὸν σταθμὸν αὐτῶν ἐπὶ τῶν ἀκμαίων φαρμάκων, οὐ τῶν παλαιῶν ἀκούειν σε χρή. τὰ μὲν οὖν λίαν παλαιὰ φεύγειν προσήκει παντάπασιν οὐ μόνον ἐπὶ τούτων, ἀλλὰ καὶ τῶν ἄλλων φαρμάκων ὅσα χυλοὶ καὶ ὀποὶ καὶ ἄνθη καὶ φύλλα καὶ καρποὶ καὶ ῥίζαι καὶ σπέρματά ἐστιν, ὁπότε γε καὶ τὰ μεταλλιστὰ πολυχρόνια γενόμενα καταλύεται καὶ αὐτὰ ταῖς δυνάμεσιν. χρώμεθα δ᾽ ἐνίοις φαρμάκοις ἐτῶν εἴκοσιν οὖσιν ἢ τριάκοντα, διὰ τὸ μηδέπω παντελῆ τὴν παρακμὴν ἔχειν. ἄλλη γὰρ ἄλλου παρακμή τ᾽ ἐστὶ καὶ ἀκμὴ καὶ ὡς ἂν εἴποι τις καὶ γῆρας. ἐνδείκνυται δὲ
12.391 τὴν ἰδίαν ἀκμὴν ἕκαστον τοῖς πολλάκις ἑωρακόσιν ἐξ ὀσμῆς καὶ γεύσεως, ἐνίοτε δὲ καὶ χρόας καὶ συστάσεως τῆς κατὰ πάχος. ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων ἁπάντων φαρμάκων ἠξίωσα μὴ μόνον ὅτι θερμαίνει γινώσκειν, ἀλλὰ καὶ κατὰ πόσην ἀπόστασιν, οὕτω κἀπὶ τῶν πρὸς τὰς ἀλωπεκίας ἁρμοζόντων ἀξιῶ σε γινώσκειν ὅτι θερμότατον μέν ἐστι τὸ εὐφόρβιον, ἧττον δ᾽ αὐτοῦ θερμὸν ἡ θαψία, μετὰ θαψίαν δὲ νᾶπύ τε καὶ κάρδαμόν ἐστιν, καθ᾽ ἕτερον δὲ τόπον ἡ λιμνῆτις, οὐδενὸς τούτων δεύτερον. ὀνομάζεται δ᾽ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ διτταῖς ἄλλαις προσηγορίαις ἀδάρκιόν τε καὶ ἀδάρκη. τούτων δ᾽ ἐφεξῆς ἐστι θεῖόν τε καὶ ὁ τοῦ νίτρου ἀφρὸς, αὐτό τε τὸ μαλακὸν νίτρον καυθέν. ὀνομάζουσι δ᾽ αὐτὸ καὶ βερενικάριον, ὥσπερ γε καὶ τὸ λευκὸν ἀφρόνιτρον κοῦφόν τε καὶ χαῦνον

ὑπάρχον, οὐδεμίαν ἔχον ἐν ἑαυτῷ γεώδη τραχύτητα, οἵ τ᾽ ἐλλέβοροι ἀμφότεροι καὶ τὸ τοῦ εὐζώμου σπέρμα καὶ τὸ δάφνινον εἴτε μύρον ἐθέλοις ὀνομάζειν εἴτ᾽ ἔλαιον αὐτὸ, καὶ πρὸς τούτοις ἀλκυόνια τὰ
12.392 ἀμφότερα, κεκαυμένα τε καὶ ἄκαυστα, βελτίω δὲ τὰ κεκαυμένα. καὶ αἱ ῥίζαι δὲ τοῦ καλάμου καὶ ὁ φλοιὸς, ἄμφω καὶ ταῦτα καυθέντα. ἀλλὰ καὶ ὑγρὰ πίττα καὶ τὸ κέδρινον, ὅπερ ἔνιοι κεδρίαν ὀνομάζουσιν, ἥ τε τῶν μυῶν κόπρος ἄρκτου τε τὸ στέαρ, ἄμεινον δ᾽ εἰ παλαιότερον εἴη. καὶ μὲν δὴ καὶ τὸ τῆς ὑαίνης, λέοντός τε καὶ παρδάλεως καὶ χηνὸς ἐπιτήδεια, καὶ πάνθ᾽ ὅσα λεπτομερῆ ταῖς οὐσίαις ἐστὶν, ὡς ἑτοίμως εἰς τὸ βάθος καταδύεσθαι τοῦ δέρματος, ἄχρι τῶν κατὰ τὰς τρίχας ῥιζῶν, ἀλλὰ καὶ τὰ πικρὰ τῶν ἀμυγδάλων, ὅλα κεκαυμένα, χρήσιμα καὶ λιβανωτὸς ἐν ὄξει δριμυτάτῳ κατειργασμένος. ἄκουε δέ μου τὸ κατειργάσθαι ῥῆμα λεγόμενον, ὅταν ἡμέραις πλείοσιν καὶ μάλιστ᾽ ἐπὶ πλέον ἐν ἡλίῳ τρίβηταί τι σὺν ὄξει δριμεῖ. τούτοις ἅπασιν τοῖς φαρμάκοις ἔνεστι χρῆσθαι, τοῖς μὲν ἰσχυροῖς κηρωτὴν ὑγρὰν μιγνύντα, τὰ δ᾽ ἀσθενῆ δεύοντα ἐλαίῳ δαφνίνῳ, καὶ τὰς μὲν κεχρονισμένας καὶ δυσιάτους τοῖς ἰσχυροῖς ἐξιώμενον, τὰς δ᾽ ἀρχομένας καὶ μικρὰς τοῖς ἀσθενέσιν.

12.393 Πρὸς ἀλωπεκίας σύνθετα. Σύνθετα δὲ φάρμακα τὰ μὲν ὑπὸ τῶν ἔμπροσθεν ἰατρῶν, ὅσοι γε ἀξιόλογοι, μεγάλως ἐπῃνημένα, τὰ δ᾽ ὑφ᾽ ἡμῶν αὐτῶν διὰ μακρᾶς πείρας βεβασανισμένα τὰ τοιαῦτά ἐστιν. ϗ εὐφορβίου καὶ θαψίας καὶ δαφνίνου, ἑκάστου ‹ β′. θείου ἀπύρου καὶ ἐλλεβόρου ἀνὰ ‹ μίαν, ἄν τε μέλανος εὐπορῇς ἄν τε λευκοῦ. τούτοις δὲ μίγνυε κηροῦ ‹ στ′, δαφνίνῳ τήξας ἢ κικίνῳ ἢ ἐλαίῳ παλαιῷ, καὶ χρῷ τούτῳ ὡς ἰσχυροτάτῳ φαρμάκῳ ἐπὶ τῶν κεχρονισμένων καὶ δυσθεραπεύτων, τούτοις ἔμιξά ποτε καὶ καρδάμου δραχμὴν μίαν ἢ ἀλκυονίου κεκαυμένου ‹ α′. ἄμεινον δ᾽ εἰς ταῦτα τὸ σκληρότερον καὶ τραχύτερον. θαψίας δὲ μὴ παρούσης, ἀντ᾽ αὐτῆς τοσοῦτον σταθμὸν ἤτοι καρδάμου σπέρματος ἢ εὐζώμου μικτέον ἐστὶν ἢ τὸ κάρδαμον. εἰ δὲ δάφνινον οὐκ ἔχεις καλὸν, ὑγρὰν πίσσαν μίγνυε. τῷ μὲν οὖν δαφνίνῳ πρὸς τὴν ὑγρὰν πίτταν οὐ μεγάλη ἡ ὑπεροχὴ, τῇ θαψίᾳ δὲ πρὸς τἆλλα μεγίστη. τὸ γὰρ ἰσχυρότατον τῶν πρὸς τὸ πάθος ἐνεργῶς ποιούντων
12.394 τοῦτο τὸ φάρμακόν ἐστιν, ὅταν γε, ὡς ἔφην, δυσθεράπευτον ᾖ. τὰ γὰρ μικρὰ καὶ ἀρχόμενα καὶ κάθαρσις ἰᾶται μόνη καὶ τῶν ἁπλῶν ὧν εἶπον

ἕκαστον κεκαυμένον, ἀναλαμβανόμενον ἤτοι δαφνίνῳ ἢ κεδρίνῳ ἢ πίττῃ ὑγρᾷ ἢ κικίνῳ, ἐλαίῳ παλαιῷ. ἔμιξα δέ ποτε καὶ μέλιτος ἀντὶ τῆς κηρωτῆς ἐλάττονος ὄγκῳ τε καὶ σταθμῷ, καὶ οὐδενὶ χεῖρον ἐγένετο τὸ φάρμακον. καὶ τὰ διὰ τῶν στεάτων δὲ συντιθέμενα, προσλαβόντα θαψίας ὀλίγον, ὀνίνησιν καὶ μᾶλλον ὅταν αὐτοῖς μίξῃς ἀδάρκιόν τε καὶ εὐφόρβιον. ἔστω δὲ τῶν μὲν στεάτων ἑκάστου μέρος ἓν, ὄντων τριῶν, λεοντείου, παρδαλείου καὶ ὑαίνης. εἰ δὲ μὴ παρείη τὸ τῆς ὑαίνης, ἀρκεῖ τοῖς παροῦσι δύο χρῆσθαι μίξαντα τὸ χήνειον. εἰ δὲ καὶ πάντ᾽ ἔχοις τὰ τέτταρα, μιγνύναι πάντα, καὶ σὺν αὐτοῖς γε τὸ ἄρκτειον, εἰ ἔχοις καὶ τοῦτο. τῷ δ᾽ ἐξ αὐτῶν ἠθροισμένῳ δωδέκατον ἀρκεῖ μίξαι μέρος θαψίας ἢ εὐφορβίου· εἰ δ᾽ ἰσχυρότερον ἐθέλοις ποιῆσαι, ἀμφοτέρων ἅμα, τῇ πείρᾳ γὰρ καὶ ταῦτα κριθέντα τὰ φάρμακα τῶν ἐνεργῶν εὑρέθη· χάριν
12.395 γὰρ τοῦ πλειόνων πεῖραν ἔχειν ἑκάστῳ τῶν αἰτούντων ἰατρῶν φίλων ἄλλο τι καὶ ἄλλο σχεδιάζων ἐδίδουν τῶν τῇ πείρᾳ κριθέντων καὶ εὑρέθη τὰ πλεῖστα βέλτιστα. πρὸ πάντων δὲ ἡμᾶς χρὴ μεμνῆσθαι τῆς κατὰ τὴν χρῆσιν αὐτῶν μεθόδου, κοινῆς οὔσης ἐπὶ πάντων καὶ μάλιστα τῶν ἰσχυρῶν φαρμάκων, καὶ διὰ τοῦτό γε πολλάκις αὐτῆς ἀναμιμνήσκω, διότι μεγάλην ἔχει δύναμιν. ὁ γὰρ ἑκάστῳ τῶν ἰσχυρῶν φαρμάκων χρώμενος ἐν ἀρχῇ μὲν αὐτὸ μαλακώτερον προσφερέτω, μίξει δηλονότι τῶν ἐκλυόντων τὴν δύναμιν, οἷα πέρ ἐστιν ἔλαιόν τε καὶ κηρὸς καὶ τῶν ἁπλῶν ὅσα προείπομεν ἀσθενῆ λιβανωτός τε καὶ καλάμου φλοιὸς καὶ ῥίζαι κεκαυμέναι καὶ ἀμύγδαλα πικρὰ καὶ ὅσα τοιαῦτα. μετὰ δὲ τὴν πρώτην χρῆσιν ὅταν ἐπὶ τὴν δευτέραν παραγίνηται, σκοπεῖσθαι χρὴ τίνα παραλλαγὴν ἐν τῷ πεπονθότι μορίῳ τὸ προσαχθὲν φάρμακον εἰργάσατο καὶ πρὸς ἐκείνην ἀποβλέποντας ἤτοι πραΰνειν αὐτοῦ τὸ σφοδρὸν τῆς δυνάμεως ἢ αὐξάνειν. οἷον ἐπ᾽ αὐτοῦ τοῦ νῦν προκειμένου πάθους ἀφελεῖν μὲν χρὴ ξυρῷ τὰς τρίχας, ἀνατρίβειν δὲ τὸ πεπονθὸς δέρμα δι᾽
12.396 ὀθόνης μήτε πάνυ τραχείας μήτε μαλακῆς, ὁρῶντα πόσον ἐρεύθους τούτῳ προσέρχεται μετὰ τοιᾶσδε κινήσεως καὶ ἀνατρίψεως. ἔσται γάρ σοι τοῦτο πρὸς τὴν τῆς ἰάσεως ἐλπίδα χρήσιμον, εἰ μὲν ἐπ᾽ ὀλίγαις ἀνατρίψεσιν ἐρυθραίνοιτο, μετρίαν ἡγούμενος τὴν διάθεσιν, εἰ δ᾽ ἐπὶ πολλαῖς, χαλεπωτέραν, ὡς ἔνιά γε δέρματα, κἂν ἐπὶ πολὺ τρίβῃς, οὐκ ἐρυθραίνεται. πρόδηλον οὖν ὅτι ταῦτα μέν ἐστι χαλεπώτατα, καθάπερ τὰ

ῥᾳδίως ἐρυθραινόμενα πρᾳότατα, τὰ δ’ ἐν τῷ μεταξὺ τούτων ἅπαντα κατὰ τοσοῦτον ἀλλήλων διαφέροντα καθ’ ὅσον ἤτοι τοῖς χειρίστοις ἢ τοῖς μετριωτάτοις πλησιάζει. ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἰρήσθω καίτοι γε οὐκ ὄντα πάρεργα. πάλιν δὲ ἐπὶ τὸ προκείμενον ἀνελθὼν ἀναμνήσω σε τῆς ἐν τῇ χρήσει μεθόδου. μετὰ γὰρ τὴν πρώτην προσφορὰν τοῦ δοκιμασθέντος φαρμάκου σκέπτεσθαι προσήκει πρῶτον μὲν εἰ καὶ πρὸ τῆς ἀνατρίψεως εὐχρούστερον φανείη τὸ δέρμα, δεύτερον δὲ εἰ μετ’ ὀλιγωτέρας ἀνατρίψεως ἢ πρόσθεν ἢ εἰ μετὰ τῆς ἴσης μὲν, ἀλλὰ
12.397 μᾶλλον ἢ πρόσθεν ἐρυθρὸν γένοιτο. σκοπεῖσθαι δὲ πρὸ πάντων, ὅταν ἰσχυρὰ προσενέγκῃς φάρμακα, μή τι περαιτέρω τοῦ προσήκοντος ἐκθερμαίνοιτο τὸ δέρμα, φανεῖται δὲ τοῦτο θεωμένῳ τέ σοι τὴν χρόαν αὐτοῦ καὶ τοὺς δακτύλους ἐπιβάλλοντι· τῇ χροιᾷ μὲν γὰρ ἔσται ξανθότερον, ἐπιβάλλοντι δὲ τοὺς δακτύλους θερμὸν ἱκανῶς φανεῖται. προσέχειν οὖν ἐπὶ τοιούτων χρὴ, κίνδυνος γὰρ ἐπικαυθῆναι τὸ δέρμα, δεύτερον ἢ τρίτον αὐτοῖς χρησαμένῳ. μεταβαίνειν οὖν ἐπί τι τῶν μαλακωτέρων, ἢ τῷ μὲν αὐτῷ χρηστέον, ἀλλ’ ἐκλύσαντα τὴν δύναμιν αὐτοῦ μίξει κηρωτῆς ἢ στέατος ἢ ὑγρότητός τινος ἐλαιώδους. χρῆσθαι δὲ καταβροχῇ δι’ ἐλαίου γλυκέος θερμοῦ καὶ ἄρτῳ ἐν καταπλάσματι, πυρίαις τε καὶ κατασχασμοῖς καὶ σικύαις καὶ κηρωτῆς ἐπαλείψεσιν. χρονίσαντος δὲ τοῦ πάθους καὶ συνεχέσι ξυρήσεσιν καὶ φοινιγμῷ διὰ νάπυος, ὡς προείρηται, καὶ ἀνατρίψεσιν ταῖς γεγραμμέναις ταῖς ἑξῆς, ἐπιχριομένης πίσσης ἢ κεδρίνου ἐλαίου καὶ μετὰ τὴν ἀνάτριψιν κατασχασμοῖς. ἔνιοι δὲ βελόνας συνδήσαντες, ὥστε τὰς ἀκμὰς ἔχειν ἐπὶ
12.398 τὸ δέρμα, κατεκέντησαν ταύταις αὐτὸ, μετὰ δὲ τὸν διὰ τῆς ἀνατρίψεως φοινιγμὸν καὶ τὸν κατασχασμὸν φαρμάκοις χρῆσθαι μετασυγκριτικοῖς· ἐπὶ πάντων δὲ κοινὸς σκοπὸς ἐν τῷ ἀέρι θερμῷ τὴν προσφορὰν ποιεῖσθαι τοῦ φαρμάκου, καὶ εἴ γε ἡλιούμενον ἔχοις τι χωρίον, ἐν ἐκείνῳ μάλιστα χωρὶς αὔρας καταπνεούσης αὐτὸ, χειμῶνος δὲ κάλλιον ἐπὶ λουτρῷ χρῆσθαι τοῖς φαρμάκοις.

Περὶ τῶν γεγραμμένων φαρμάκων συνθέτων ἐπὶ τοῦ τῆς ἀλωπεκίας πάθους τοῖς ἐμοῦ πρεσβυτέροις ἰατροῖς. Ἥρας μὲν οὖν ἐν τῷ νάρθηκι κατὰ λέξιν οὕτως ἔγραψεν· πρὸς ἀλωπεκίας. ἀλκυόνιον τὸ τραχύτερον, καύσας καὶ λειοτριβήσας σὺν ἐλαίῳ κατάχριε τὸν τόπον, μάλιστα ἐν

λύχνῳ λαμβάνων τὸ ἔλαιον. αὕτη μὲν ἡ τοῦ Ἥρα γραφή. καὶ χρὴ γινώσκειν ἡμᾶς τὸ φάρμακον τοῦτο μέσον εἶναι τῇ δυνάμει καὶ διὰ τοῦτο καὶ τὰς μέσας κατὰ μέγεθος ἀλωπεκίας ἰάσασθαι ἱκανόν. μέτριον μὲν γάρ ἐστι φάρμακον, εἰ καλάμου ῥίζαν ἢ φλοιὸν ἢ ἀμύγδαλα πικρὰ ἤ τι τῶν τοιούτων καύσας ἐλαίῳ μίξαις, ἰσχυρὰ δὲ τὰ δι᾽ εὐφορβίου καὶ θαψίας
12.399 καὶ ἀδάρκης. ἐν τῷ μεταξὺ δ᾽ αὐτῶν ἐστι τὸ κεκαυμένον ἀλκυόνιον. ἀλλὰ καὶ αὐτὸ τοῦτο μετριώτερον μέν ἐστιν ἐλαίῳ μιχθὲν, ἰσχυρότερον δ᾽ ὑγρᾷ πίσσῃ καὶ δαφνίνῳ. μίγνυται δὲ καὶ τοῖς εἰρημένοις στέασι. καὶ χρωμένῳ γέ τινι πρὸς τὸ πάθος ἀρκτείῳ στέατι μηδὲν ἀνύοντος αὐτοῦ συνεβούλευσα μίξαι τὸ κεκαυμένον ἀλκυόνιον, ὑφ᾽ οὗ διὰ ταχέων ἐθεραπεύθη. τὸ δὲ τοῦ λύχνου ἔλαιον οὐ κατ᾽ ἄλλον τινὰ λόγον ἐπιτήδειόν ἐστιν ἢ τῷ λεπτομερέστερον εἶναι τοῦ λοιποῦ. προσέρχεται δὲ τοῦτο αὐτῷ κατὰ τὴν οἷον ἕψησιν τὴν ἐν τῷ λύχνῳ καὶ γίγνεται τῷ τε παλαιῷ καὶ τῷ κικίνῳ παραπλήσιον, ὡς εἰ καὶ ἄλλως ἐπὶ πυρὸς ἐθέλοις ἔλαιον θερμῆναι. καὶ γὰρ οὖν καὶ ὁ ῥύπος ὁ ἐπὶ ταῖς λυχνίαις γιγνόμενος ἐοικὼς ὑγρῷ πηλῷ τοῖς ἐπὶ τῆς ἀγροικίας παρ᾽ ἡμῖν, ἔγνωσται θεραπεύων τὰ ἐν τῷ μέσῳ τῶν ἐν τοῖς ποσὶ δακτύλων ἕλκη, συνεχῶς αὐτοῖς γιγνόμενα δι᾽ ἀλουσίαν τε καὶ ἀμέλειαν τοῦ διανίζειν αὐτὰ καθ᾽ ἑκάστην ἡμέραν. τούτῳ τοίνυν αὐτῷ τῷ ῥύπῳ πηλώδει συνεβούλευσά
12.400 τινι τῶν ἀγροίκων ξύσαντι τὴν ἀλωπεκίαν, ἣν ἔδειξέ μοι, καταχρίεσθαι μετὰ τοῦ ξυρᾷν τὸν τόπον συνεχῶς, ἐκθεραπευθεὶς δὲ ὑπ᾽ αὐτοῦ καὶ ἄλλους ἐπεχείρησεν οὕτως ἰᾶσθαι, νομίσας ἅπασαν ἀλωπεκίαν ὑπὸ τοῦ φαρμάκου τούτου δύνασθαι θεραπεύεσθαι. ἐγὼ δὲ μετρίαν αὐτοῦ τὴν διάθεσιν θεασάμενος, ἤλπισα διὰ τοῦ ῥύπου θεραπευθήσεσθαι.

Ἕτερον τοῦ Ἥρα ἐπὶ παίδων ἁρμόττον. Ἕτερον δ᾽ ἑξῆς τῷ προγεγραμμένῳ φαρμάκῳ ὁ Ἥρας ἔγραψε κατὰ λέξιν οὕτως. ℈ εὐζώμου σπέρματος μέρος ἓν, καρδάμου μέρος α′. νίτρου μέρος α′. ἐν ἐνίοις δὲ ἀντιγράφοις ἁπλῶς γέγραπται ℈ εὐζώμου μέρος ἓν, καρδάμου μέρος ἓν, νίτρου μέρος ἓν, λεάνας πίσσαν ὑγρὰν παράχει καὶ προανατρίβων τὸν τόπον ἐπίπλασσε. καὶ ὅταν ἄρῃς τὸ φάρμακον ἀπόμασσε τὸν τόπον σπόγγῳ ἐκ θερμοῦ, ἅραι δὲ δὶς τῆς ἡμέρας. ἐνεργεῖ δὲ μάλιστα ἐπὶ τῶν παιδίων τοῦτο τὸ φάρμακον, ἰσχυρότερον μὲν γάρ ἐστι τοῦ προτέρου, κεχρονισμένην δὲ καὶ δυσθεράπευτον ἀλωπεκίαν οὐκ ἂν ἰάσαιτο· δηλοῖ

δὲ τοῦτο καὶ ὁ Ἥρας αὐτὸς προσγράψας ἐνεργεῖν ἐπὶ παίδων αὐτὸ
12.401 μάλιστα, τουτέστιν ἐπὶ σωμάτων μαλακὸν ἐχόντων τὸ δέρμα. ῥᾳδίως γὰρ ἐκ τῶν τοιούτων οἱ μοχθηροὶ διαφοροῦνται χυμοὶ, παραπλήσιον δὲ δηλονότι οἱ εὐνοῦχοι καὶ αἱ γυναῖκες ἔχουσι τὸ δέρμα τοῖς παιδίοις.

Περὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων πρὸς ἀλωπεκίας. Κρίτων δὲ ἐν τῷ τρίτῳ τῶν κοσμητικῶν οὕτως ἔγραψεν. πρὸς δὲ τὰς λεγομένας ἀλωπεκίας, πάθος τριχῶν λυμαντικὸν καὶ κοινῶς δυσμορφίας ποιητικὸν, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις, ὡς Ἡρακλείδης ὁ Ταραντῖνος. ἀμύγδαλα πικρὰ σὺν τοῖς λεπύροις κατακαύσας καὶ τρίψας μετ᾽ ὄξους ἀναλάμβανε μικρὸν μέλιτος ἐπιβαλὼν, ἐπὶ δὲ τῆς χρήσεως προανατρίβων τὸν πεπονθότα τόπον ὀθονίῳ καθαρῷ ἐπίχριε συνεχῶς. ὠφελεῖ δὲ μάλιστα καὶ ἡ συνεχὴς ξύρησις, πρὸ τῆς ἐπιθέσεως τοῦ φαρμάκου. ἄλλο ᾧ Μόσχος ἐχρῆτο. ἐχίνων θαλασσίων τὰ ὄστρακα κατακαύσας καὶ ὕδατι ἀναλαβὼν ἐπιτίθει προανατρίβων τοὺς τόπους. ἔν τισιν ἀντιγράφοις εὗρον οὐχ ὕδατι ἀλλὰ στέατι ἀρκτείῳ, ἀναλαμβανομένης τῆς τῶν ἐχίνων σποδιᾶς, καὶ μᾶλλον οὕτως ἐμοὶ
12.402 ἤρεσεν· ἔστι γὰρ ἐνεργέστερον. ἄλλο. καλάμου ῥίζας κατακαύσας, ἀναλαβὼν στέατι ἀρκτείῳ, οὕτως ἐπιτίθει. ἄλλο. θαψίας φλοιὸν τρίψας μετ᾽ ὄξους ἐπιτίθει. ἄλλο. χαμαιλέοντος ῥίζαν τρίψας ἐπιμελῶς μετὰ ὄξους ἐπιτίθει. ταῦτα προειπὼν ὁ Κρίτων ἐφεξῆς τάδε γράφει. χρονιζούσης δὲ τῆς διαθέσεως χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις· ἐνδεικνύμενος ἐκ τούτων τὰ προγεγραμμένα φάρμακα μετρίων εἶναι διαθέσεων ἰατικά. γράφει τοίνυν ἐφεξῆς καὶ τὰ πρὸς τὰς ἰσχυροτέρας διαθέσεις ἁρμόττοντα κατὰ τὴν ἐκείνου λέξιν οὕτως ἔχοντα.

Περὶ τῶν ὑπὸ Ἡρακλείδου γεγραμμένων πρὸς ἀλωπεκίας χρονίας. Πρὸς ἀλωπεκίας ὡς Ἡρακλείδης ὁ Ταραντῖνος. Ὀρεστίνου πρὸς τὰς κεχρονισμένας ἀλωπεκίας ⁊ μυοχόδων ‹ β′. λιβανωτοῦ ‹ β′. ὄξει δριμυτάτῳ διαλύσας ἐπίχριε, προξυρήσας τοὺς τόπους. ἄλλο. ⁊ ἐχίνων θαλασσίων σὺν τοῖς ὀστράκοις κεκαυμένων ‹ β′. κηκίδων ὀμφακιτίδων τὸ ἴσον, ἀμυγδάλων πικρῶν κεκαυμένων τὸ ἴσον. μυοχόδων ‹ α′. ὄξει διαλύσας καὶ τρίψας ἐπιμελῶς ἐπιτίθει. ἄλλο ὡς Ὀρεστῖνος. ⁊ ἀρκτείων τριχῶν κεκαυμένων, ἀδιάντου κεκαυμένου, καλάμου ῥιζῶν κεκαυμένων,

12.403 συκῆς φύλλων κεκαυμένων, κιλικίου ῥάκους κεκαυμένου ἑκάστου τὸ ἴσον ἀναλάμβανε στέατι ἀρκτείῳ καὶ κεδρίᾳ. ἐπὶ δὲ τῆς χρήσεως πυρία, ἀνατρίβων τὸν τόπον συκῆς φύλλοις καὶ νίτρῳ ἀποσμήχων, κατάχριε τῷ φαρμάκῳ καθ᾽ ἡμέραν, ἑλκωθείσης δὲ τῆς ἐπιφανείας ἐπιτίθει κηρωτὴν διὰ λεκίθου καὶ πυρίνων καὶ κριθίνων ἀλεύρων, χυλῷ προσφάτῳ ἐπίχριε. ἄλλο Ὄθωνος Σικελοῦ ἐπιτετευγμένον. ℩ βατράχων τῶν σμικροτάτων κεκαυμένων ἐν χυτριδίῳ, τῆς σποδοῦ μέρος α ′ . μυοχόδων, ἐλλεβόρου λευκοῦ, καλάμου ῥίζης κεκαυμένης, πεπέρεως λευκοῦ, ἑκάστου τὸ ἴσον, ὄξει προσανάλαβε καὶ χρῶ προανατρίβων καὶ ἀποξυρῶν τὸν τόπον. ἄλλο. ℩ ὀνύχων αἰγείων κεκαυμένων τῆς σποδοῦ, θαψίας χυλοῦ, ἀλκυονίου, μυοχόδων, ἀφρονίτρου, σμύρνης, πεπέρεως λευκοῦ, ζιγγιβέρεως, ἑκάστου τὸ ἴσον τρίψας ἐπιμελῶς ἀναλάμβανε αἰγείᾳ χολῇ.

Περὶ τῶν ὑπὸ Κλεοπάτρας γεγραμμένων ἐν τῷ κοσμητικῷ. Ἐν τῷ Κλεοπάτρας κοσμητικῷ πρὸς ἀλωπεκίας γέγραπται φάρμακα κατὰ τὴν αὐτῆς ἐκείνης λέξιν, ᾗδέ πως ἔχουσαν. πρὸς ἀλωπεκίας. σανδαράχην
12.404 λειώσας ἀναλάμβανε ἰξῷ δρυΐνῳ, ὡς ὅτι πλείστῳ καὶ προεκνιτρώσας, ἔμπλασσε εἰς ὀθόνιον καὶ ἐπιτίθει. ἐγὼ δὲ καὶ νίτρου ἀφρῷ προσέμιξα τὰ προειρημένα καὶ ἐνήργησεν καλῶς. ἄλλο. ℩ σκίλλης ⸂ α′. ἐλλεβόρου λευκοῦ ⸂ α′. λεῖα ποιήσας σὺν ὄξει καὶ ξυρήσας καὶ προεκνιτρώσας κατάχριε. ἄλλο. ℩ νάπυος ⸂ α′. καρδάμου ⸂ α′. λεῖα μετ᾽ ὄξους ἐπιτίθει, προξυρήσας καὶ ἐκνιτρώσας τὸν τόπον, βέλτιον δὲ κατασχάζειν. ἄλλο. ℩ φλοιοῦ καλάμου ⸂ δ′. ἀφρονίτρου ⸂ δ′. πίσσῃ ὑγρᾷ ἀναλαβὼν χρῶ. συνεχῶς δὲ ἐπιξύρα τὸν τόπον καὶ τάχιστα τριχοφυήσει, ἔτι δὲ καὶ προσανάτριβε ὀθονίῳ. ἄλλο. μυῶν κεφαλὰς συναπόθλα ἀνατρίβων. ἄλλο. μυόχοδα λεῖα κατάχριε, ὀθονίῳ ἐφαιμάξας τὸν τόπον. ἄλλο. ἀμύγδαλα πικρὰ σὺν τοῖς λεπύροις καύσας, τρῖψον μετ᾽ ὄξους καὶ μέλιτος καὶ τὸν τόπον ἐφαιμάσσων τῇ ἀνατρίψει κατάχριε. ποίει δὲ τοῦτο συνεχῶς καὶ ἀναξύρα τὸν τόπον, καὶ ταχέως τρίχες ἀναβήσονται. ἄλλο. αὕτη ἡ δύναμις πασῶν ἐστι βελτίων, ποιοῦσα καὶ πρὸς ῥεούσας τρίχας,
12.405 σὺν ἐλαίῳ ἢ μύρῳ ἐνιεμένη καὶ τοῖς ἐν ἀρχῇ μαδαριῶσιν ἢ εἰς φαλακρότητα ἐμπίπτουσιν, ἔστι δὲ θαυμάσιος. ℩ μυῶν τῶν κατοικιδίων κεκαυμένων, μέρος α ′ . ἀμπελίνου ῥάκους κεκαυμένου μέρος ἓν, ἱππείων ὀδόντων κεκαυμένων μέρος ἓν, στέατος ἀρκτείου μέρος ἓν, μυελοῦ

ἐλαφείου μέρος α ′ . καλάμου φλοιοῦ μέρος ἓν, ταῦτα ξηρὰ λειούσθω καὶ προσμισγομένου μέλιτος ἱκανοῦ, ἕως ἂν σχῇ μέλιτος πάχος, τριβέσθω καὶ μιγνυέσθω τὸ στέαρ καὶ ὁ μυελὸς τακέντα, καὶ ἀποτιθέσθω εἰς πυξίδα χαλκῆν τὸ φάρμακον καὶ ἀνατριβέσθω ἡ ἀλωπεκία, μέχρις οὗ ἀνατριχοφυήσῃ. ὁμοίως δὲ καὶ αἱ ῥέουσαι τρίχες καθ᾽ ἡμέραν ὑποχριέσθωσαν. καὶ τούτων τῶν φαρμάκων καὶ τῶν ἐφεξῆς γραφησομένων οὐ χαλεπὸν διακρῖναι τά τε δριμύτερα καὶ ἰσχυρότερα καὶ τὰ μαλακώτερα καὶ ἀσθενέστερα, μεμνημένους ὧν κατ᾽ ἀρχὰς εἶπον. οὕτω γὰρ ὑπάρχει καὶ τὸ κεχρῆσθαι καλῶς αὐτοῖς, ἐπὶ μὲν τῶν μετριωτέρων ἀλωπεκιῶν τοῖς μετριωτέροις, ἐπὶ δὲ τῶν ἰσχυροτέρων τοῖς ἰσχυροτέροις, ὥσπερ γε κἀπὶ τῶν ἰσχυροτάτων τοῖς ἰσχυροτάτοις.

12.406 Περὶ τῶν ὑπ᾽ Ἀρχιγένους γεγραμμένων ταῖς ἀλωπεκίαις χρησίμων. Ἔγραψε καὶ Ἀρχιγένης ταῦτα τὰ φάρμακα πρὸς ἀλωπεκίας διὰ τῆσδε τῆς λέξεως. τὰς ἐπιπολαίους ἀλωπεκίας ἐκνιτρώσας καὶ ὀθονίῳ ἐκμάξας περιστερεῶνι ἐν ἡλίῳ τριβέντι καὶ ὄξει διέντι, κατάχριε ἱκανῶς ἢ ὁμοίως σμήξας σεύτλου φύλλα ἐπίθες, ἐπάνω δὲ ὑγρὸν ὀθόνιον, ἀφαίρει δὲ βρέχων τὸν τόπον. τὰς δὲ βαθείας ἀνάτριβε σὺν ὄξει, νίτρου βώλῳ ἢ σηπίας ὀστράκῳ ἢ ἰχθύᾳ ἢ συκῆς φύλλοις, μέχρις ἀναξασμοῦ, εἶτα ἀπομάξας τὸ αἷμα σεῦτλον ἐν οἴνῳ ἑφθὸν ἐπίθες, ἢ ἰσχάδας κεκαυμένας ἐν οἴνῳ ἢ φακοῦ ἄλευρον σὺν οἴνῳ κατάπλασσε ἢ φλυκταινώσας τὴν ἀλωπεκίαν βουπρήστει μετ᾽ ὄξους ἢ βατραχίῳ ἢ ἄρου ῥίζῃ σύν τινι τούτων κηρωτοειδὲς ποιήσας καὶ ἐπιθεὶς εἰς νύκτα, πρωὶ δ᾽ ἀποσχάσας τὰς φλυκταίνας κατάπλασσε σκορόδῳ ἢ βουσελίνῳ ἢ ἀνεμώνης φύλλοις, καλῶς ποιοῦσι μετὰ τὰς φλυκταινώσεις καὶ ἱππόκαμποι θαλάσσιοι καέντες καὶ ἐπιπασσόμενοι μετ᾽ ὀλίγου χαλκάνθου, ὠμοῦ λείου ἢ ὑείων
12.407 σιαγόνων ὀστᾶ κεκαυμένα. ἄλλο. ἢ ξυρήσας καὶ σμήξας ἀφρονίτρῳ καὶ ἀλκυονίῳ μετὰ δριμέος ὄξους ἀνάτριβε, μέχρις ἂν αἱμάξῃ, εἶτα κατάχριε καρύων Ποντικῶν κελύφεσιν κεκαυμένοις λεάνας μετὰ μέλιτος, θεράπευε δὶς τῆς ἡμέρας. τὸ πολὺ καθίστησιν ἐν ἡμέραις δέκα. ἢ μύας κατοικιδίους ἐν χύτρᾳ καύσας, λείους ἀναλάμβανε ἀξουγγίῳ καὶ προανατρίβων σκορόδῳ τὰς ἀλωπεκίας ἐν σπληνίῳ ἐπιτίθει, καὶ τοῦτο καθ᾽ ἡμέραν ποίει, μέχρις ἂν ἐκφυῶσιν τρίχες. ἢ βατράχια τὰ μικτὰ ὁμοίως κατακαύσας τὴν τέφραν μετὰ πίσσης πολλάκις ἀνεξεσμένης,

μέχρις ἂν παχεῖα γένηται, ἐπίχριε μήτε προξυρῶν μήτε προσμήχων. ἢ μυόχοδα καὶ λίβανον ἴσα σὺν ὄξει μέλιτος πάχος κατάχριε προφοινίσσων, ἢ σῦκα ξηρὰ κεκαυμένα κατάχριε μετ᾽ ἐλαίου ὁμοίως λειώσας. ἢ ἐλλέβορον λευκὸν, πέπερι, μυόχοδα προσμήξας καὶ καταξύσας, σὺν ὄξει κατάχριε. ἢ ῥαφάνῳ καὶ κρομμύῳ, ἐπικαρσίως τμηθέντι ἀνατρίψας εὖ μάλα κατάχριε. ἢ ἀλκυονίῳ πεφοσμένῳ καὶ βάπτων τὸν δάκτυλον ἐν ἐλαίῳ τρῖβε ἐπιμελῶς, μέχρις ἂν δηχθῇ, καὶ
12.408 κατορθώσεις. ἢ ἀλκυόνιον πρὸς λύχνον φώξας καὶ στέαρ ἄρκτειον ὁμοίως τήξας, μίξον καὶ κατάχριε προσμήχων ἐν ἡλίῳ. ἢ προκεντήσας ὡς ἔθος, κατάπλασσε κρομμύῳ λείῳ μετὰ μέλιτος. ἢ ῥαφάνου φλοιῷ ὁμοίως. ἢ κατασχάσας καλάμου ἐπιφάνειαν, ἣν Αἰγύπτιοι σιφθείριον καλοῦσι, κεκαυμένην πίσσῃ ὑγρᾷ πρόσμιγε καὶ σπλήνιον ἐπιτιθεὶς λῦε τετράκις ἢ πεντάκις, εἶτα ἀποσμήξας ἄλλο σπλήνιον ἐπιτίθει. ἔνιοι νίτρον πρὸς τὸ δέκατον τῆς τέφρας μίσγουσι καὶ λίαν ὠφελοῦσιν. ἢ λεπίδι στομώματος μετ᾽ ὄξους καὶ ἐλαίου κατάχριε ὁμοίως. ἢ αἰλούρου ἢ κροκοδείλου κόπρου ‹ στ΄. νάπυος ‹ δ΄. μετ᾽ ὄξους δριμέος κατάχριε. ἢ κανθαρίδας κεκαυμένας πίσσῃ ὑγρᾷ ἀναλαβὼν ὡς κηρωτὴν ὑγρὰν γενέσθαι, προαποσμήξας νίτρῳ ὀπτῷ καὶ ἐκμάξας ἐν σπληνίῳ, ἐπίθες καὶ ἔα διανυκτερεῦσαι, πρωὶ δὲ ἄρας ἔα ξηρανθῆναι τὸν τόπον, μέχρις ἂν περιρραγῇ. ὅταν δὲ ἀναστείλωσιν αἱ τρίχες, ξύρα συνεχῶς. ἢ κάρδαμον, οἱ δὲ πέπερι, μυόχοδα, ἐλλέβορον λευκὸν, ἴσα μετ᾽ ὄξους κατάχριε ἢ
12.409 αἱμάξας ἐπιπολῆς ἰχθύᾳ ἢ συκίνῳ φύλλῳ ἢ κισσήρει λείᾳ, ἀμύγδαλα πικρὰ καύσας μετ᾽ ὀξυμέλιτος κατάχριε. συνεχῶς δὲ τοῦτο ποίει καὶ ξύρα, αὐξήσουσι γὰρ ταχέως. ἢ χελώνης θαλασσίας αἵματι κατάχριε, ἐπαινεῖται. ἢ ἱπποποτάμου δέρμα καύσας κατάχριε. ἢ καρύοις Ποντικοῖς κεκαυμένοις καὶ σταφίσιν ἀγρίαις σὺν δαφνίνῳ μύρῳ, τοῦτο γὰρ Ἀρχιγένης ἐπαινεῖ. ἢ μυόχοδα καὶ ἐλλέβορον κατάχριε λευκόν. ἢ καλάμου φλοιοῦ κεκαυμένου καὶ νίτρου ἑκάστου ἴσον, πίσσῃ ὑγρᾷ μαλαγματῶδες ποίει. ἢ κάρυα πικρὰ σὺν τοῖς λεπύροις καύσας μετ᾽ ὄξους ἢ μέλιτος, πυκνῶς κατάχριε προεκμάξας ὀθονίῳ καὶ ξύρα τὸν τόπον πυκνῶς. ἢ ἀμμωνιακοῦ θυμιάματος μετ᾽ ὀποῦ τιθυμάλλου ἀνάτριβε. ἢ αἰλούρου ἀφοδεύματι ξηρῷ μετ᾽ ὄξους ἢ ῥοὸς ‹ δ΄ ἢ β΄. σινήπεως ‹ β΄ σὺν ὄξει δριμεῖ κατάχριε. ἢ ἀμυγδάλοις πικροῖς καὶ κισσήρει ἐπίχριε.

Διονυσίδωρος δὲ ὁ ἰατρὸς, κάσσυμα καινὸν καίων μετ᾽ ὄξους δριμέος κατάχριε. ἄκρως δὲ ποιεῖ ἐπὶ τῶν χρονίων, εἰ θαψίας χυλὸν ἢ ῥίζαν
12.410 ἀναλαβὼν κηρωτῇ ἐπιθείης τῷ τόπῳ μετὰ τοῦ μηδὲν ἄλλο προσαπεργάσασθαι. ἀφίσταται γὰρ ἡ ἄνωθεν ἐπιφάνεια καὶ ἰχωρροεῖ, ὑποφύονταί τε αἱ τρίχες αὐτόματοι. ὁρᾷς ὅπως καὶ ὁ Ἀρχιγένης ἐπαινεῖ τὸ διὰ τῆς θαψίας, οὐ γὰρ ἂν εὕροις ἄμεινον αὐτοῦ φάρμακον. αὐξάνεται δ᾽ ἡ πίστις τῶν ὠφελούντων κᾀκ τῆς συμφώνου ἱστορίας, καὶ διὰ τοῦτο κᾀγὼ τὰ παρὰ τοῖς ἐμπείροις ἰατροῖς φάρμακα γράφω πάντα.

Περὶ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων ἐν τῷ περὶ ἀλωπεκίας βιβλίῳ. Οὐ τοῦ νεωτέρου δηλονότι μέμνημαι νῦν Ἀσκληπιάδου, τοῦ συνθέσεις φαρμάκων ἀξιολόγους ἐν πολλοῖς γράψαντος βιβλίοις, ἀλλὰ τοῦ παλαιοτέρου τοῦ Βιθυνοῦ. οὗτος τοίνυν ὁ Ἀσκληπιάδης σεμνύνεται θεραπείας ἀγωγὴν εὑρηκέναι δι᾽ ἧς ἰᾶσθαί φησιν πολλοὺς, ἀλωπεκίας δυσθεραπεύτους ἔχοντας, πλέον δέ φησιν εἰς τὴν θεραπείαν δύνασθαι τὴν ὅλην δίαιταν ἢ τὰ φάρμακα· περὶ μὲν οὖν τῆς διαίτης τάδε γράφει. ἀφεκτέον οὖν παντὸς οἴνου εἰς τέλος, διὰ ταύτας τὰς αἰτίας. εὔδηλον δ᾽ ὅτι προείρηκεν αὐτὸς τὰς αἰτίας, ἃς ἔξεστι βουλομένῳ μαθεῖν, ἀναγνόντι
12.411 τὸ βιβλίον. εἶτ᾽ ἐφεξῆς φησιν· ἀφεκτέον δὲ καὶ τοῦ λίαν ὑπερεμπίπλασθαι, κωλύει δὲ καὶ κρεῶν ἐσθίειν καὶ τυροῦ καὶ γάλακτος καὶ ὀσπρίων καὶ πάντων ἁπλῶς ὅσα δυνάμεις ἐν μικροῖς ὄγκοις ἔχει πολυτρόφους τε καὶ πνευματούσας, ἀλλὰ καὶ τὰ πολλὰ τῶν γυμνασίων κελεύει φεύγειν, ὥσπερ γε καὶ τὰ συνεχῆ λουτρὰ καὶ τοὺς πολλοὺς ἱδρῶτας. περὶ δὲ τῶν φαρμάκων τάδε γράφει κατὰ λέξιν. ἔστι δὲ τὸ μὲν πρῶτον σύγχρισμα τοιοῦτον. ϟ ἀφρονίτρου μέρη δύο, ἁλὸς ἀμμωνιακοῦ μέρος ἓν, κεκαυμένα λεάναντες, ὄξει διέντες ὡς δριμυτάτῳ μέχρι τοῦ λαβεῖν γλοιοῦ πάχος, προκαταξυσθείσης τῆς ἀλωπεκίας κούφως, ὥστε δασυνθῆναι καὶ ἔναιμον γενέσθαι τὸν τόπον, μετρίως καταχρίοντες τὴν κεφαλὴν καὶ τρίψαντες μέχρι τοῦ συλλαβεῖν καὶ εἰς βάθος παρενεχθῆναι τὸ φάρμακον, καλῶς προκαταχρίσαντες ἡσυχάζειν ἐῶμεν ἕως δείλης. ἔπειτα τὸ αὐτὸ ποιήσαντες τῇ ἑσπέρᾳ καὶ τῇ ἑξῆς καὶ τῇ τρίτῃ παραπλησίως, μεγάλην παραλλαγὴν εὑρίσκομεν. ἵσταται γὰρ ἡ νομὴ καὶ αἱ τρίχες καταψώμεναι καὶ μὴ διελκόμεναι μετὰ βίας ἀντείχοντο καὶ οὐκ
12.412 ἀνεσπῶντο. ἔπειτα τῇ ἑξῆς ἐπανατρίψαντες ἐν ὄξει καταπλάττομεν,

μέχρι τοῦ φλυκταίνας ἐπαναστῆναι καὶ ἕλκωσιν ἐπιπόλαιον λαβεῖν τὸ δέρμα. παρασχάσαντες δὲ τὰς φλυκταίνας καὶ ἄχρι δυεῖν ἡμερῶν ὑποδεξάμενοι τὸ ὑδατῶδες, τὸ ἀπὸ τῶν ἑλκῶν ῥέον, ἐχρώμεθα πάλιν τῷ αὐτῷ συγχρίσματι, φειδόμενοι τῶν ἑλκωδῶν τόπων καὶ ὑπερβαίνοντες, αὐτοὺς δὲ τοὺς ὑγιεῖς λαμβάνοντες καὶ τούτους καταψῶντες ἡσυχάζειν ἐῶμεν ἕως δείλης. ἔπειτα τὸ αὐτὸ ποιήσαντες καὶ ἀνατρίβοντες ἐπὶ βραχὺ, μέχρις ἑπτὰ καὶ ὀκτὼ ποιοῦντες ἡμερῶν, ἤδη που συνθεωροῦμεν ἀπὸ τῶν περάτων τῆς ἀλωπεκίας, οὐκ ἔτι λεπτὰς καὶ χνοώδεις τρίχας ὡς ἔμπροσθεν, ἀλλ' ἐμβριθεστέρας, ἔπειτα κατὰ μικρὸν ἀεὶ ταύτας ἐπιβαινούσας τοῖς ἐψιλωμένοις, συνεκλειπούσας δὲ πάλιν τὰς λεπτὰς καὶ ἀσθενεῖς ὁμοίου τινὸς συμβαίνοντος τοῖς ἡλκωμένοις. καὶ γὰρ ἐπὶ τῶν ἑλκῶν ἀπὸ τοῦ πέρατος ἡ οὐλὴ τὴν ἀρχὴν λαμβάνουσα τὸ ἔσχατον εἰς τὰ μέσα τοῦ ἕλκους ἀποτελευτᾷ, ἐπί τε τῆς ἀλωπεκίας τὰ πρὸς τῷ τετριχωμένῳ πρῶτα ἐξισχύει καὶ δασύνεται, τὰ δ' ἐν τοῖς μέσοις ὕστατα
12.413 πάντων τριχοφυεῖ. προκοπτούσης μὲν οὖν τῆς θεραπείας οὕτως, οὐδὲν προσδεόμεθα φαρμάκων ἑτέρων, ἀλλ' ἑνὶ τούτῳ διὰ πλείονος ἀεὶ χρόνου χρώμεθα καὶ ὑπήκουεν ἐπιεικῶς τὸ πάθος, εἰ μὴ παντελῶς εὐμεγέθης ἡ ψιλότης εἴη. τὸν δὲ μέσον χρόνον τῷ τε καταξυσμῷ τῷ διὰ τοῦ σμιλίου συνεχῶς ἐνεργοῦμεν καὶ ἔστιν ὅτε τῇ ἀκμῇ τοῦ ὀξυβελοῦς ἐπικρούοντες τὸν χρῶτα διὰ τῶν νυγμάτων αἱμάτιον ἐκομισάμεθα σύμμετρον. ταῦτα προειπὼν ὁ Ἀσκληπιάδης αὐτοῖς ὀνόμασιν ἐφεξῆς ἀπεφήνατο περὶ ξυρήσεως ἐναντίως τοῖς ἄλλοις. οὐ γὰρ συνεχῶς, ἀλλ' ἐκ διαλειμμάτων κελεύει ξυρᾶσθαι τὸ πεπονθὸς μόριον, ὅταν ἤδη μετρίως παχεῖαι τρίχες ἐν αὐτῷ φύωνται. τὰς δ' ἀρχομένας ἔτι καὶ λεπτὰς οὐκ ἀξιοῖ ξυρᾶν. μετὰ δὲ τὸν περὶ τῆς ξυρήσεως λόγον ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως. εἰ δὲ καταβραδύνοιτο τῆς τριχώσεως, ἐπὶ τὰς ὑπογεγραμμένας δυνάμεις καταφεύγομεν, εἰσὶ δὲ τοιαῦταί τινες. ἐχίνου χερσαίου τὴν κεφαλὴν ἢ τὸ δέρμα κατακαύσας καὶ τρίψας λεῖον μέλιτι δεύσας ἐπίχριε. ἄλλο. ἱπποκάμπον θαλάσσιον καὶ νίτρου μικρὸν συγκατακαύσας καὶ στέαρ
12.414 χήνειον μίξας, κατάχριε προεκνιτρώσας τὸν τόπον. ἄλλο. θαψίαν ἐν ὕδατι δεύσας κατάχριε. ἄλλο. μυῶν τὰ διαχωρήματα μετ' ὄξους λειώσας κατάχριε. ἄλλο. καλάμου κυπρίου λαβὼν τὰ φύλλα καὶ κατακαύσας ἐπὶ κεραμίδος, ἔπειτα ῥητίνῃ πιτυΐνῃ ὡς πλεῖστον τῆς τέφρας ἀναλαβὼν,

ἔμπλασσε καὶ προκατασχάσας τὴν ἀλωπεκίαν ἐπίθες καὶ ἐπίδησον. ἢ τὸν φλοιὸν ἢ τὴν κόμην τῶν καλάμων ὡσαύτως σκεύασον, ἔτι δὲ καὶ νίτρου τῆς τέφρας τὸ ἴσον μίξας καὶ πίττῃ ἀναλαβὼν χρῶ. ἔστι δὲ οὐκ ἄπρακτον, ἀλλ᾽ ἱκανῶς ἐνεργοῦν. ἐπὶ τούτοις ὁ Ἀσκληπιάδης μνημονεύει καὶ τῶν μυιῶν, ἃς κελεύει θηρεύσαντας ὡς πλείστας εὐθέως ἐνθλίβειν τὰς κεφαλὰς αὐτῶν εἰς τὰ ἐψιλωμένα τῆς ἀλωπεκίας, καὶ μάλιστα, φησὶν, ἐπειδὰν ἑλκώσωμεν αὐτήν. καὶ γὰρ καὶ συμφέρει, φησὶ, τὸ ἀπὸ τῶν μυιῶν αἷμα παροξυνομένῃ τηνικαῦτα τοῖς διὰ τοῦ νίτρου καὶ τῶν ἁλῶν συντιθεμένοις φαρμάκοις, ὑφ᾽ ὧν οὐ μόνον δάκνεσθαί φησιν αὐτὰς, ἀλλὰ καὶ φλυκταινοῦσθαι.

Περὶ τῶν ὑπὸ Σωρανοῦ γεγραμμένων πρὸς ἀλωπεκίας. Προειπών τινα
12.415 κατὰ τὴν ἰδίαν ἀγωγὴν μνημονεύσας τε καὶ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων, ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως. διὸ καὶ προσφάτου τυγχάνοντος αὐτοῦ συστολὴ τὸ πρῶτον ἁρμόσει, καὶ μετὰ ταῦτα ἁπλοῦν τρόφιον εὔχυλον καὶ καταβροχὴ δι᾽ ἐλαίου γλυκέος θερμοῦ, καὶ ἄρτος ἐν καταπλάσμασι, πυρίαι τε καὶ καταξυσμοὶ καὶ σικύαι καὶ κηρωτὴ καὶ ἀνάληψις. χρονίσαντος δὲ συνεχὴς ξύρησις καὶ φοινιγμὸς διὰ νάπυος καὶ ἀνατρίψεις αἱ γεγραμμέναι, ταῖς ἑξῆς ἐπιχριομένης πίσσης ἢ κεδρίνου ἐλαίου, καὶ δι᾽ ἀνατρίψεως τῆς διὰ φύλλων συκῆς ἢ κρομμύων ἢ ὀθονίου περιειλημμένου τῷ λιχανῷ δακτύλῳ ἢ τῷ ἀντίχειρι καὶ μετὰ τὴν ἀνάτριψιν κατασχασμοί. ἔνιοι δὲ βελόνας συνδήσαντες, ὥστε τὰς ἀκμὰς ὑφ᾽ ἓν ἔχειν, κατεκέντησαν δι᾽ αὐτῶν τὸ δέρμα, μετὰ δὲ τὸν διὰ τῆς ἀνατρίψεως φοινιγμὸν καὶ τὸν κατασχασμὸν φάρμακα μετασυγκριτικὰ ἐπίχριστα ἢ ἐπίπλαστα. τοιαῦτα δὲ πολλὰ κατὰ μέρος ἐστί. καὶ γὰρ καὶ κρόμμυον λεῖον ἢ ῥαφάνου φλοιὸς ἑκάτερον μετὰ μέλιτος ἐπιπλασσόμενον ἢ ἀφρονίτρου μέρος ἓν, ῥοῦ μέρη β′. καὶ ἁλὸς
12.416 ἀμμωνιακοῦ μέρος ἓν, κεκαυμένα καὶ λελειωμένα μετ᾽ ὄξους δριμέος, ἄχρι τοῦ λαβεῖν γλοιοῦ πάχος. γέγραπται δὲ καὶ ἄλλα πολλὰ, φησὶν, παρά τε Ἀσκληπιάδῃ καὶ Ἡρακλείδῃ τῷ Ταραντίνῳ καὶ Ἐλεφαντίδῃ καὶ Μοσχίωνι διὰ τοῦ κοσμητικοῦ, ἐξ ὧν ἔγραψε καὶ αὐτὸς τά θ᾽ ὑπ᾽ Ἀσκληπιάδου προγεγραμμένα καὶ ἄλλα τινὰ ὧν ἐφεξῆς μνημονεύσω. ♃ ἀρκτείου στέατος μέρος ἓν, καλάμου φύλλων κεκαυμένων τέφρας μέρος ἓν, σιδήρου στομώματος λεπίδα, ὄξει καὶ ἐλαίῳ μίξας παλαιῷ κατάχριε.

ἄλλο. ⲋ αἰλούρου ἢ κροκοδείλου κόπρου ‹ η΄. νάπυος ‹ δ΄. μετ᾽ ὄξους δριμέος. ἄλλο. ⲋ κριθῶν κεκαυμένων καὶ μυοχόδων ἴσον, μετ᾽ ὄξους δριμέος. ἄλλο. ⲋ κάρδαμον καὶ μυόχοδα καὶ ἐλλέβορον λευκὸν καὶ πέπερι, ἴσα μετ᾽ ὄξους δριμυτάτου. ἄλλο. νᾶπυ καὶ κάρδαμον ἢ σφονδύλιον καύσας καὶ λειώσας, ὄξει κατάχριε. ἄλλο. ⲋ βατράχων κεκαυμένων ‹ ιη΄. κισσήρεως κεκαυμένης ‹ ιβ΄. ἐν ἄλλῳ ιε΄. νάπυος ‹ η΄. νίτρου ‹ δ΄. καρύων κεκαυμένων ‹ κδ΄. ἄλλο. καὶ κηρωτὴ διὰ πεπέρεως καὶ πυρέθρου καὶ ἀσβέστου καὶ μυρσίνου ἐλαίου. δεῖ δὲ καὶ
12.417 προανατρίβειν τὸ πεπονθὸς, ἤτοι δι᾽ ἀλκυονίου κεκαυμένου ἄχρις ὅτου δηχθῇ, ἢ ἐχίνου θαλασσίου κεκαυμένου τῆς σποδοῦ ὀθονίῳ ἐνηλειμμένης, μέχρις ἂν ἔρευθος γένηται. ἄλλα φάρμακα ἐν χρήσει γεγονότα τὰ μὲν ἐμοὶ, τὰ δὲ τοῖς διδασκάλοις μου, τὰ δὲ φίλοις ἰατροῖς. προσμίξας φοινίξουσι κίσσηριν, προπυριάσας καὶ χρίσας θαψίας χυλῷ ἄχρις ἂν ἐπαρθῇ, εἶτα πυριάσας κηρωτῇ ῥοδίνῃ χρῶ. ἄλλο. ⲋ καλάμου φύλλων καὶ ῥίζης αὐτῶν κεκαυμένων καὶ ἄρκτου τριχῶν καὶ ἀδιάντου καὶ στέατος ἀρκτείου καὶ πίσσης ὑγρᾶς καὶ τριχῶν αἰγείων κεκαυμένων καὶ κεδρίας, ἁπάντων ἴσων ὄντων ὀκτὼ καὶ οὕτως ἔγχεε τὰ τηκτὰ μετὰ τῶν ξηρῶν προαποσμήχων. ἄλλο. συκῆς φύλλοις μετὰ ὄξους ἄχρι χνοώδεις ἀναβῶσιν καὶ τότε βοτάνης τῆς λεγομένης στοιβῆς, χυλῷ κατάχριε. ἄλλο. βατράχους λεπτοὺς καύσας ἐπίπασον μετὰ πίσσης ὑγρᾶς χλιαρᾶς, εἶτα ἐπίχριε μήτε προξυρῶν μήτε προσμήχων. ἄλλο. ⲋ ἀφρονίτρου ‹ δ΄, μυῶν ἀφοδεύματος ‹ β΄, καλάμου φλοιοῦ κεκαυμένου ‹ β΄, πίσσῃ ὑγρᾷ ἀναλαμβάνων, ποίει σπλήνιον καὶ προξυρῶν τὸν τόπον
12.418 καὶ προεκνιτρῶν, ἐπιτίθει καὶ μὴ ἀφαίρει πρὸ δυεῖν ἢ τριῶν ἡμερῶν. ἄλλο. ⲋ νάπυος καὶ κόπρου αἰλούρου τὸ ἴσον ἑκατέρου προσμήξας, τὸν τόπον κατάχριε. ἄλλο. κατασχάσας κατάχριε σηπίας τῷ μέλανι ἢ πράσιον χλωρὸν τρίψας κατάχριε. ἄλλο. σφαιρίτιδος φύλλα πεφρυγμένα λειοτρίβει μετ᾽ ὄξους καὶ ἐπιτίθει. καλεῖται δὲ σφαιρῖτις ἡ τὰ σφαιρία φέρουσα κυπάρισσος. ἄλλο. κάρυα πικρὰ σὺν τοῖς λέμμασιν κατακαύσας μετὰ μέλιτος καὶ ὄξους κατάχριε προξυρήσας. ἄλλο. ἐχίνων θαλασσίων τὰ ὄστρακα κατακαύσας μετὰ μέλιτος καὶ ὄξους προξυρήσας κατάχριε. ἄλλο. ἀλκυονίου κεκαυμένου καὶ μυῶν ἀφοδεύματα μετὰ πράσου χυλοῦ κατάχριε. ἄλλο. ⲋ θαψίας ῥίζης ‹ δ΄. χαμαιλέοντος ῥίζης ‹ β΄.

ἀναλάμβανε ἰξῷ εἰργασμένῳ καὶ ἀναπλάσας ἐπιτίθει καὶ ὅταν προερεθισθῇ, ἐξάρπαζε. ἄλλο. Ⳋ καλάμου Ἑλληνικοῦ φύλλων κεκαυμένων ⸂ δ′. μυοχόδων ⸂ β′. ἐχίνων κεκαυμένων ⸂ α′. μετὰ ὄξους λεάνας κατάχριε. ἄλλο. Ⳋ ἁλὸς ἀμμωνιακοῦ ⸂ α′. νίτρου ⸂ α′. φώξας ἀμφότερα καὶ δεύσας ὄξει, κατάχριε τρὶς τῆς ἡμέρας προεκνιτρώσας τὸν
12.419 τόπον. ἄλλο. Ⳋ ἀμυγδάλων πικρῶν ὀπτῶν τριόβολον, κισσήρεως ὀβολοὺς δύο, ἁλὸς ἀμμωνιακοῦ τριόβολον, ὁμοίως κατάχριε δι’ ὄξους. ἄλλο. πέπερι, μυόχοδα, ἐλλέβορος λευκὸς ἴσα μετ’ ὄξους καὶ ὀλίγου ἐλαίου κατάχριε. ἄλλο. στομώματος λεπίδα μετ’ ὄξους καὶ ὀλίγου ἐλαίου κατάχριε. ἄλλο. προσερεθίσας τὸν τόπον διὰ κισσήρεως κατάχριε, μίξας θείου καὶ νίτρου ἀφροῦ καὶ ἀμμωνιακοῦ τὸ ἴσον ἑκάστου μετ’ ὄξους. ἄλλο. Ⳋ ἀλκυονίου δραχμὴν μίαν, θείου ἀπύρου ⸂ στ′. μυιῶν πεφωσμένων ὥστε ἀναξηρανθῆναι κύαθον ἕνα, τὰς μυίας λέαινε ἰδίᾳ καὶ τὸ θεῖον, τὸ δὲ ἀλκυόνιον ἑψήσας ἐν ὕδατι συλλέαινε τοῖς ξηροῖς, παραχέον ἀνὰ μέρος χολῆς ὑείας καὶ ὄξους, ἕως γλοιῶδες γένηται, εἶτα ἀξουγγίαν τὴν ἀπὸ τῶν τροχῶν ξύσας καὶ ἐπὶ τῆς χειρὸς ἀναμαλάξας μίξον, ὡς ἐμπλαστρῶδες γενέσθαι καὶ προξυρήσας τὴν ἀλωπεκίαν καὶ προφοινίξας, ἐπίχριε τῷ φαρμάκῳ θαρρῶν ὡς ἀρίστῳ. ἄλλο. προαποσμήξας τὸν τόπον, ὄξει διαβεβρεγμένον χόνδρον λειώσας καὶ προσβαλὼν ὀποῦ Κυρηναϊκοῦ βραχὺ, κατάχριε. ἄλλο. προαποσμήξας τὸν
12.420 τόπον καὶ κατασχάσας ἰσχάδας ὀπτὰς, μετὰ γλυκέος κατάπλασσε. ἄλλο. κατάχριε γλυκεῖ, εἶτα νάρθηκα κεκαυμένον κατάπλασσε. τὰ ἐφεξῆς γεγραμμένα δύο φάρμακα θαυμάσιά ἐστιν, τὴν λέξιν ἔχοντα τοῦ δόντος αὐτὰ πρὸς ἀλωπεκίας φαλακρώσεις, ἀραιότητας τριχῶν δυσαλθεῖς, ἐπὶ κεφαλῆς, ἐπὶ γενείων, ἐπὶ ὀφρύων. προβάτου τῶν τριχῶν γο α . καλάμου ῥίζης γο στ . πτέρεως σὺν τῇ ῥίζῃ γο γ . . λοπίμου τῶν πωγώνων γο γ , ἐρίων οἰσυπηρῶν ὡς ὅτι λιπαρωτάτων γο στ . κεφαλὰς μυιῶν ἀριθμῷ λστ . μυίας ε χωρὶς κεφαλῶν. πάντα εἰς καινὴν χύτραν ἐμβαλὼν ἔνθες ἐν ἰπνῷ, εἶτα τὴν τέφραν αὐτῶν λέαινε. προτετρίφθω δέ σοι ἐν οἴνῳ Ἀμιναίῳ λαδάνου γο α . σμύρνης γο α . καὶ προσεμβεβλήσθωσαν ἐλαίου παλαιοῦ γο β . κεδρίνου γο α . μαλαβάθρου γο β . εἶτα περιπάσας τὰ ξηρὰ ἀνελοῦ, προανατρίψας δὲ ὀθονίῳ τὴν ἀλωπεκίαν, εἶτα κούφως κατακνίσας ἢ κρομμύῳ ἢ σκίλλῃ ἢ

συκῆς φύλλῳ ἀναξύσας σχολαίως, ἐπίχριε ἀνατρίβων τὸ φάρμακον καὶ
12.421 λουσάμενος ἐντόνῳ ὀθονίῳ ξέων, ταῖς ἐχομέναις ἀρκοῦ ἐπιχρίων ἕως διμήνου, ἐπιμένων δὲ καὶ φαλάκρωσιν ἰάσῃ.

Πρὸς τοὺς παρ᾽ ἡλικίαν φαλακρουμένους βοήθεια. Στέατος ταυρείου ἡλιωμένου λίτραν μίαν, ἀδάρκης γο α . θαψίας χυλοῦ γο α . . οἱ δὲ γο . σμύρνης καλῆς γο α . πολυτρίχου λίτρας . καλλιτρίχου λίτρας . ὄνου μορίου λίτραν μίαν, σπληνὸς ὄνου λίτραν α . λαδάνου τὸ ἴσον. τὸ λάδανον ἐγὼ βρέξας ἐν οἴνῳ βραχεῖ ἐλείωσα τὸ στέαρ, τήξας ἐφ᾽ ὕδατος ἀτμῷ, εἶτα τοῦ ὄνου τὸ μόριον ὀπτὸν ξύε, ἕως οὗ δαπανηθῇ. τὸν δὲ σπλῆνα φρύγε σὺν τῷ καλλιτρίχῳ καὶ πολυτρίχῳ ἐν χύτρᾳ καινῇ καὶ κόψας τὰ κοπτὰ καὶ κοσκινήσας ἀναλάμβανε ἐν γλευκίνῳ ἢ Σαβίνῳ ἐλαίῳ χρῶ πρὸ βαλανείου προκτενίζων τὴν κεφαλήν. εὔδηλον δ᾽ ὅτι τὰ αὐτὰ φάρμακα καὶ πρὸς τὰς τῶν γενείων τρίχας μὴ φυομένας ἁρμόττει. ἄλλο. τήλεως ξέστας δ . λινοσπέρμου ξέστας β . λαδάνου γο η . ἀκακίας χυλοῦ γο στ . φύλλου μαλαβάθρου γο στ . κηκίδας ἀριθμῷ κ . ὄνυχος ἀρωματικοῦ γο β . καλάμου
12.422 Συριακῆς γο β . . οἱ δὲ γο α . βδελλίου γο β′. μυρσίνης κεκαυμένης ξέστην μίαν, βρύου, οἱ δὲ σπλάχνου, οἱ δὲ ἀρωματικοῦ γο γ′. ἴρεως ἀστραγαλίτιδος, οἱ δὲ Ἰλλυρικῆς γο β′. κόψας καθ᾽ ἓν ἕκαστον καὶ σήσας λεπτῷ κοσκίνῳ, μίξεις κατὰ τὸ ἑξῆς ὡς προγέγραπται. ἐπὶ δὲ τῆς χρείας, βάλῃς τοῦ φαρμάκου ὡς τὸ τρίτον ἢ τὸ ἀρκοῦν εἰς χαλκοῦν ἢ ὀστράκινον ἀγγεῖον, ἔπειτα προσμίξας οἴνου ἰταλικοῦ εὐώδους, ἵνα ἔξυγρον γένηται, εἶτα ἐπ᾽ ἄνθρακας ἐπιθεὶς κίνει ξυλαρίῳ, ἄχρις οὗ ζέσῃ ἅπαξ, προσέχων μήπως καυθῇ, εἶτα καταχρίσεις κελεύων ἐνιδροῦν τῷ φαρμάκῳ, ἔπειτα ἡσυχῇ ἀνατρίψεις ἐν τῇ ἐμβάσει καὶ ὡς ἔθος ἔχει. καταντλῶν τὴν κεφαλὴν ἀπόπλυνε, ἑξῆς δὲ σταφίδα ἀγρίαν κεκομμένην κατ᾽ ἰδίαν καὶ σεσημμένην παρ᾽ ἡμέρας τέσσαρας τῆς χρήσεως προσμίξεις τῷ φαρμάκῳ καὶ ὁμοίως ἐψήσεις καὶ ὡσαύτως καταχρίσεις, φειδόμενος μὴ εἰς τοὺς ὀφθαλμοὺς καταρρεύσῃ. ἀλείμματι δὲ χρήσῃ μετὰ βαλανεῖον, ἐλαίου μυρσίνου λίτραν μίαν τετριμμένου μετὰ λαδάνου γο δ′. ἀμετάπτωτος ἡ
12.423 δύναμις. ἄλλο πρὸς τὰ αὐτά. Ϟ περικαλαμίτιδος γο α′. μυροπισσοκήρου, ἀποτραγοπώγωνος γλοιοῦ τοῦ ἐκ τῶν τριχῶν ἀνὰ γο ἥμισυ, βρέφους ἀμόρφου στέατος λίτραν μίαν, διονυσιακοῦ φύλλων ἁπαλῶν τοῦ χυλοῦ

λαδώνιδος φύλλων ἁπαλῶν χυλοῦ, καλλικέρεως χυλοῦ, περιστερεῶνος βοτάνης χυλοῦ, καλάμου φύλλων χυλοῦ ἑκάστου ἀνὰ κυάθους γ′. καὶ ἥμισυ, κυνομόρου, ἐχίνων θαλασσίων κεκαυμένων ἑκάστου ἀνὰ γο β′. κᾆν πλέον δὲ, ἄμεινον ποιήσεις, ἀκανθίωνος ἐπιγείου τὸ δέρμα κεκαυμένον, πάντα λειοτριβεῖν δεῖ ἐν θυΐᾳ μολυβδίνῃ ἐπὶ πλείονας ἡμέρας, ἕως πάντα λειωθέντα καλῶς ἑνωθῇ. καὶ ἀπὸ τῆς θυΐας τι ποσὸν ἀποσμηχθῇ, χρῶ προανατρίψας τὸν τόπον εὐτόνως ὠμολίνῳ, εἶτα προαποσμήξας τῇ τῆς ἀλθαίας σὺν ἐφήβου ῥίζῃ κατάχριε. τοῦτο τὸ φάρμακον οὕτω γεγραμμένον εὗρε Κλαυδιανὸς ὁ ἑταῖρος ἡμῶν ἐκ πυκτίδι διφθέρᾳ, τοῦ χρωμένου αὐτῷ ἀποθανόντος, περὶ πολλοῦ ποιησάμενος κτήσασθαι διὰ τὸ θεάσασθαι δύο τινὰς ἀρχομένους φαλακροῦσθαι θεραπευθέντας ὑπ᾽ αὐτοῦ, ὡς μήτε προβῆναι τὴν
12.424 φαλάκρωσιν αὐτό τε τὸ ἐψιλωμένον δασυνθῆναι, καὶ συμβολικῶς δὲ γεγραμμένον. τοῦτο λαβόντες ἡμεῖς ἐσκοπούμεθα καθ᾽ ἕκαστον, ὁποῖόν τι τὸ δηλούμενόν ἐστιν. ἐπινοοῦντες οὖν ἄλλοτ᾽ ἄλλο, διὰ μακρᾶς πείρας εὑρήσειν τὸ ἀληθὲς ἠλπίζομεν. ἀλλ᾽ ἔν γε τῷ παρόντι γεγράφθω τοῖς ἔπειτα, γραψόντων καὶ ἡμῶν ὕστερον ἐὰν εὕρωμέν τι μεταξὺ τῇ πείρᾳ κρίναντες. ἐν δὲ τῷ παρόντι τὸ μὲν περικαλαμίτιδος φλοιὸν καλάμου νομίζομεν εἰρῆσθαι· καὶ γὰρ καὶ ἄλλως ἴσμεν αὐτῶν ἁρμόττοντα ταῖς τοιαύταις διαθέσεσιν, ἐπειδὰν καυθῇ, καὶ γεγραφότας ἑτέρους δι᾽ αὐτοῦ φάρμακα τοιαῦτα. πιθανὸν οὖν ἐστιν, ἐπειδὴ περίκειται τῷ καλάμῳ ὁ φλοιὸς, περικαλαμίτιν αὐτὸν εἰρῆσθαι. δύναται δὲ καὶ τὸ καλούμενον ὑπὸ τινῶν μὲν λίμνηστρον, ὑπὸ τινῶν δὲ ἀδάρκη τε καὶ ἀδάρκιον οὕτως εἰρῆσθαι διὰ τὸ περιφύεσθαι τοῖς καλάμοις. τὸ δὲ μυροπισσοκήρου νομίζομεν εἰρῆσθαι πίσσης καὶ κηροῦ τετηκότων μύρῳ τινὶ τῶν πρὸς τὰ τοιαῦτα δοκούντων ἁρμόττειν, ὁποῖόν ἐστιν γλεύκινον καὶ δάφνινον καὶ νάρδινον καὶ σχίνινον καὶ σησάμινον καὶ κέδρινον. τὸ δὲ
12.425 ἀποτραγοπώγωνος, ἄντικρυς ἡμῖν ἐδόκει περὶ τοῦ λαδάνου λελέχθαι. καὶ γὰρ συμπεφώνηται πρὸς τὰς τοιαύτας διαθέσεις ἁρμόττειν. καὶ ἡ γένεσις αὐτοῦ κατὰ τὰ γένεια τῶν τράγων ἔν τισι χωρίοις ἐπιγίγνεται. δηλοῖ δὲ τοῦτο καὶ Ῥοῦφος ὁ Ἐφέσιος διὰ τῶνδε τῶν ἐπῶν·

Ἄλλο δέ που κατὰ γαῖαν Ἐρέμβων λήδανον εὕροις
Αἰγῶν ἀμφὶ γένεια. τὸ γὰρ καταθύμιον αἰξὶ,

Κίστου ἀνθηέντος ἐπέδμεναι ἄκρα πέτηλα.
Τοῦ δ' ἀπὸ λαχνήεντος, ἀνεπλήσθησαν ἀλοιφῆς
Αἶγες ὑπαὶ λασίῃσι γενειάσι, πλευρά τε πάντα.
Οὐ μὲν δὴ νούσοις τόδε κάλλιον, ἀλλ' ἄρα πνοιὴ,
Ἔξοχον, οὕνεκα πολλὰ μεμιγμένα φάρμακ' ἔχουσιν
Ἀμβρόσι', οἷά τε γαῖα φύει πεδίοισιν Ἐρέμβων.
εἰ μὲν οὖν τοῦτο μόνον τὸ λάδανον ὁ συνθεὶς τὸ φάρμακον ἐμβάλλεσθαι κελεύει, τῶν ἀδήλων ἐστίν. ἐγχωρεῖ δὲ καὶ ἀφ' ἑνὸς εἴδους τὸ πᾶν εἰρῆσθαι γένος αὐτῷ. βρέφους δ' ἀμόρφου δοκεῖ μοι λέγειν τῆς ἄρκτου. ταύτην γάρ φασιν ἀποκυΐσκεσθαι μὲν ἄμορφον, ὡσανεὶ σαρκῶδές τι
12.426 μέρος. ἐκλειχούσης δὲ τοῦτο τῆς μητρὸς διαμορφοῦσθαι τὸ ζῶον. διονυσιακοῦ δὲ δοκεῖ μοι λέγειν τῆς ἀμπέλου, τάχα δ' ἄν τις φαίη καὶ κιττοῦ λέγεσθαι δύνασθαι. λαδώνιδος δὲ, ὅτι τῆς δάφνης λέγει, οὐκ ἂν οἶμαί τινα διαπορῆσαι, καλλικέρως δὲ τῆς τήλεως δοκεῖ μοι λέγειν. ὀνομάζεται δὲ παρ' ἡμῖν ἐν Ἀσίᾳ τοῦτο τὸ φυτὸν αἰγόκερως. κυνόμορον δὲ τὴν κυνόσβατον εἰκὸς λέγεσθαι. ἀκανθίωνα δὲ ἐπίγειον ἡγοῦμαι τὸν ἐπίγειον ἐχῖνον λελέχθαι.

Περὶ ῥεουσῶν τριχῶν. Πάθος ἕτερον τριχῶν ἐστιν, ἀραιότητι μὲν τοῦ δέρματος, ἐνδείᾳ δὲ τῆς γεννώσης αὐτὰς οὐσίας ἑπόμενον, διὸ καὶ ἡ θεραπεία τῶν οὕτως βεβλαμμένων οὐ τὸν αὐτὸν ἔχει σκοπὸν ταῖς ἀλωπεκίαις. ἐπ' ἐκείνων μὲν γὰρ ἐκδαπανῆσαι τὴν κακοχυμίαν ὁ σκοπὸς, ἐπὶ τούτων δὲ ῥῶσαί τε τὴν ἕξιν τῆς κεφαλῆς καὶ χρηστοῦ παρουσίαν ἐργάσασθαι χυμοῦ καὶ τοῦ δέρματος τὴν κατὰ πυκνότητα καὶ ἀραιότητα συμμετρίαν ἀνακαλέσασθαι. διὸ καὶ τοῖς ὑγραίνουσι φαρμάκοις μεμίχθαι
12.427 χρή τι μετρίως στῦφον, ὁποῖόν ἐστι τὸ λάδανον, ἔχον ἐν ἑαυτῷ συμμέτρως ἀμφότερα τὰ πρὸς τὸ σύμπτωμα τοῦτο ἐπιτήδεια, θερμότητά τε μετρίαν καὶ στύψιν ἀνάλογον αὐτῇ. διὰ τοῦτο τοιγαροῦν ἐλαίῳ μιγνύμενον ὡς ἐγχρίεσθαι καθίστησι τὸ σύμπτωμα τῶν ῥεουσῶν τριχῶν. εὔδηλον δ' ὅτι προηγεῖσθαι χρὴ τῆς τοῦ φαρμάκου χρήσεως, τρίψιν τῆς κεφαλῆς καὶ τῶν πολλῶν τριχῶν ἀφαίρεσιν, εἰ δ' ἡ ὥρα τοῦ ἔτους ἐπιτρέπει, καὶ τελείαν ἄρσιν. οὕτω γὰρ ἐπὶ ταῖς τρίψεσί τε καὶ χρίσεσι ῥωμαλέον τε καὶ θερμὸν ἔσται τὸ δέρμα καὶ τὴν συμμετρίαν τῆς πυκνώσεως ἕξει τὴν κατὰ φύσιν. εἴωθε δὲ τὸ πάθημα τοῦτο περὶ τὰς

τρίχας γίγνεσθαι, πλειστάκις μὲν τοῖς νοσήσασιν, σπανιάκις δὲ καὶ χωρὶς νόσου, καὶ μᾶλλον αὐτῷ διαίτης ἀναληπτικῆς τε καὶ ὑγιεινῆς ἐστι χρεία. καὶ πολλοὶ χωρὶς φαρμάκου τελείως ἐξυγιάσθησαν ἐν τάχει. συνέθεσαν δ' οὖν ὅμως ἕνεκεν αὐτοῦ φάρμακα, σύμμετρον πύκνωσιν ἐργαζόμενα τοῦ δέρματος, ἅμα τῷ μὴ ψύχειν αὐτό. τὰ γάρ τοι σφοδρῶς στύφοντα
12.428 πάντως μὲν καὶ ψύχει καὶ τὴν ἐπιρροὴν δὲ τῆς τροφῆς ἀναστέλλει, δι' ἣν ἐνδεῶς γιγνομένην αἱ τρίχες ἐκρέουσιν. σκοπὸς οὖν ἐστι τοῖς φαρμάκοις τὸ μὲν ἐπιρρέον αἷμα μὴ ὅτι κωλύειν, ἀλλὰ καὶ προτρέπειν, συνάγειν δ' ἀτρέμα καὶ σφίγγειν τὸ κεχαυνωμένον δέρμα. τοιοῦτον δ' αὐτοφυές ἐστι τὸ λάδανον, ὃ διὰ τὸ σύστασιν ἔχειν ὁμοίως κηρῷ δεῖταί τινος ὑγρότητος ἐπιτηδείου δαψιλοῦς, ὅπως ἐναλείφοιτο τῇ κεφαλῇ. βέλτιον οὖν ἐστι τὴν ὑγρότητα ταύτην ὁμοίαν εἶναι τῷ λαδάνῳ. τουτέστι μικτὴν ἐξ ἐναντίων δυνάμεων, ἑλκτικῆς τε καὶ συνακτικῆς. οὔκουν οὔτε τὸ Σαβῖνον οὔτε τὸ παλαιὸν ἔλαιον οὔτε τὸ κίκινον ἐπιτήδειον, ἀλλὰ τὸ κατὰ τὴν Ἰβηρίαν ἢ Ἱσπανίαν ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν αὐτὴν γεννώμενον, ἔχει γάρ τι καὶ στύψεως, ἔτι δὲ τοῦδε μᾶλλον τὸ σχίνινον αὐτοφυῶς ὑπάρχον τοιοῦτον, οἷόν περ καὶ τὸ λάδανον. ὥστε οὔτε ἐπειράθην οὔτε ἐπινοῶ κρεῖττον ἔσεσθαι φάρμακον ἐπὶ τῶν ῥεουσῶν τριχῶν τοῦ μιχθέντος ἔκ τε
12.429 τοῦ λαδάνου καὶ τοῦ σχινίνου. πρόδηλον δ' ὅτι ξυρηθέντι μέν τινι παχύτερον χρὴ προσφέρεσθαι τὸ φάρμακον, ἐν χρῷ δὲ κειρομένοις ὑγρότερον. ὅτι γὰρ οὐ χρὴ κομᾶν, πρὶν ἂν οὕτω τις θεραπεύηται, ἐστὶ πρόδηλον. εἰ δὲ πολλὴ ῥύσις εἴη καὶ τεκμαίροιο τοῦ τῆς κεφαλῆς δέρματος ἀραιότητα γεγονέναι πολλὴν, οὐκ ἀνεπιτήδειον εἰς τὰ παρόντα καὶ τὸ μύρσινον ἀντὶ τοῦ σχινίνου μίγνυσθαι τῷ λαδάνῳ. μίξαις δ' ἄν ποτε καὶ τὸ νάρδινον μύρον ἐν ἡλικίᾳ ψυχρᾷ καὶ ὥρᾳ χειμερινῇ· ἀγαθὸν δὲ φάρμακον εἰς πάντα καὶ τὸ τῶν πλουσίων γυναικῶν μύρον, ὃ καλοῦσιν ἐν Ῥώμῃ φουλίατον. οὐχ ἧττον δὲ τοῦτο χρηστὸν, ἀλλὰ καὶ μᾶλλον, ὃ προσαγορεύουσι σπικάτον, ὥστε τούτοις μὲν καταμόνας χρίεσθαι κέλευε τὰς πλουσίας καὶ μετὰ νάρδου τῆς ἀρίστης. τὸ λάδανον δὲ τῆκε κατὰ διπλοῦν ἀγγεῖον δηλονότι καὶ τηχθέντος μετὰ νάρδου πρόσμιγε τῶν εἰρημένων πολυτελῶν μύρων, ὅτουπερ ἂν εὐποροίης. ἐμοὶ μὲν οὖν ἤρκεσε ταῦτα μετὰ τῆς ἀναληπτικῆς τε καὶ ὑγιεινῆς διαίτης, ἥτις ἐπὶ τῶν πλείστων ἐστὶν αὐτάρκης μόνη. συνέθηκαν δὲ, ὡς ἔφην, ἔνιοι

12.430 τῶν ἔμπροσθεν ἰατρῶν φάρμακα πρὸς ῥεούσας τρίχας, ὧν ἐγὼ μνημονεύσας, ὅπῃ διενήνοχεν ἀλλήλων διηγήσομαι. πρώτας δὲ ἐρῶ τὰς ὑφ᾽ Ἥρα γεγραμμένας συνθέσεις φαρμάκων, ὧν τὴν μὲν προτέραν ἐπαινῶ, τὴν δὲ δευτέραν περίεργον ἡγοῦμαι. γράφει δὲ περὶ τῆς προτέρας ὠδί.

Αἱ ὑφ᾽ Ἥρα γεγραμμέναι συνθέσεις φαρμάκων πρὸς ῥεούσας τρίχας. Ἥρας ἔγραψεν ἐν τῷ νάρθηκι δύο φάρμακα τὰ ὑπογεγραμμένα κατὰ τὴν ἐκείνου λέξιν αὐτοῦ, πρὸς τὸ μὴ ἀπορρεῖν τὰς ἐν τῇ κεφαλῇ τρίχας. λάδανον ἀποβρέχων ἐν οἴνῳ αὐστηρῷ λέαινε, ἐπαλλὰξ παρεπιχέων μύρσινον ἔλαιον καὶ οἶνον, ὡς μέλιτος σχεῖν πάχος καὶ χρῖε τὴν κεφαλὴν πρὸ βαλανείου καὶ μετὰ βαλανεῖον. βέλτιον δέ ἐστιν καὶ πολυτρίχου ὅ τινες καὶ ἀδίαντον καλοῦσιν καὶ τὸ ἥμισυ μέρος τοῦ λαδάνου προσβάλλειν καὶ χρῆσθαι μετὰ μυρσίνου ἢ μετὰ ναρδίνου. ταῦτα περὶ τῆς προτέρας συνθέσεως εἰπὼν ὁ Ἥρας ἐφεξῆς γράφει ταῦτα.

Σύνθεσις ἐλαίου πρὸς ῥεούσας τρίχας, ἡ δ᾽ αὐτὴ καὶ μελαίνει. Μεταξὺ
12.431 καλανδῶν Ἰουλίων καὶ ἰδῶν κάρυα χλωρὰ ἑκατὸν θλάσας καὶ μίξας ἐλαίου πρωτείου α′. καὶ στυπτηρίας ὑγρᾶς λίτρας γ′. βάλε εἰς σκεῦος καινὸν ὀστράκινον προβρέξας τὸ σκεῦος καὶ ἐπιμελέστατα περιχρίσας, κατάθου αὐτὸ ἐν τόπῳ μήτε λίαν νοτερῷ μήτε θερμῷ καὶ ἔα ὑπὸ τὴν γῆν μῆνας τρεῖς, εἶτα ἀνελόμενος χρῶ τῷ ἐλαίῳ. αὕτη σοι καὶ ἡ τοῦ δευτέρου φαρμάκου γραφὴ, πλέον ἢ δεῖ στυπτικὸν ἐργαζομένη τὸ φάρμακον. καὶ διὰ τοῦτο ἐπανορθούμενος αὐτοῦ τὸ σφοδρὸν τῆς στύψεως ὁ πρῶτος συνθεὶς ἐκ τοῦ κατορύξαι τε καὶ οἷον σῆψαι τὰ μιχθέντα λεπτομερεστέραν αὐτῶν τὴν οὐσίαν ἐπειράθη ποιῆσαι. τὸ δὲ τοιοῦτον φάρμακον ἐν ὥρᾳ καὶ χώρᾳ καὶ φύσει σώματος θερμῇ χρήσιμον, ὡς ἐπί γε τῶν ἐναντίων οὐκ ἀσφαλὲς χρῆσθαι. καὶ γὰρ οὖν καὶ ψυχθείσας ὑπ᾽ αὐτοῦ γυναῖκας εἶδον, ὡς κορύζῃ τε καὶ βράγχῳ καὶ κατάρρῳ περιπεσεῖν ἐξ αὐτοῦ.

Περὶ τῶν ὑπ᾽ Ἀρχιγένους γεγραμμένων πρὸς ῥεούσας τρίχας. Ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων Ἀρχιγένης ἔγραψεν πρὸς ῥεούσας
12.432 τρίχας ὠδί πως κατὰ λέξιν· Ϟ λαδάνου καὶ ἀψινθίου ἴσα καὶ ἀρκευθίδας δέκα λείας, ὀθονίῳ ἐνδήσας καὶ βρέξας ἐλαίῳ ἐφ᾽ ἡμέρας ε′. ἐκ τούτου

ἀλείφου τὴν κεφαλὴν καὶ οὔτε ῥέουσιν αἱ τρίχες οὔτε πίτυρα ἕξει. ἢ κτενιζόμενος ἀδιάντῳ μετὰ μυρσίνου ἢ ῥοδίνου ἐλαίου, ἢ ἀδιάντῳ, μυρσίνης μελαίνης ἴσα, κηκίδος διπλοῦν σὺν ἐλαίῳ παλαιῷ ἢ σχινίνῳ ἢ μυρσίνῳ μέλιτος πάχος ποιῶν χρῶ. ἢ λίβανον ἢ μίσυ ἢ κηκίδα ἢ ἀδίαντον ἴσα σὺν οἴνῳ ἀθαλάσσῳ μέλιτος πάχος ποιῶν τρῖβε ἐν ἡλίῳ. ἢ ἕψε μαλακῶς, ἕως ἂν μελανθῇ, εἶτα σὺν ἐλαίῳ παλαιῷ ἢ σχινίνῳ ἢ μυρσίνῳ μίξας χρῶ. ἢ κράμβην ξηρὰν κόψας μεθ᾽ ὕδατος κατάπλασσε, ἢ λωτοῦ ῥίζαν ὁμοίως.

Περὶ τῶν ἐν τῷ Κλεοπάτρας κοσμητικῷ γεγραμμένων. Καὶ τὰ γεγραμμένα κατὰ τὸ Κλεοπάτρας κοσμητικὸν αὐτοῖς ὀνόμασιν οὕτως ἔχει· πρὸς τὸ τρίχας γεννῆσαι ἐν τῇ κεφαλῇ· καλάμων ἁπαλῶν τὰς ῥίζας κόψας χύλισον καὶ μυίας ἐν πολταρίῳ φρύξας μίξον, καὶ στέαρ ἄρκτειον καὶ
12.433 ἔλαιον κέδρινον καθ᾽ ἓν τρίψας καὶ ἐπὶ τὸ αὐτὸ μίξας δὸς καταχρίεσθαι. ἵνα δὲ τὴν ὀσμὴν ἀπαμβλύνῃς, μῖξον οἶνον ἢ γλυκύ. ἄλλο γεγραμμένον οὐ μετὰ πολλὰ τοῦ πρόσθεν ᾧδέ πως κατὰ λέξιν πρὸς τριχοφυΐαν. λινόσπερμα ξηρὸν κατάκαυσον, σὺν τῇ λινοκαλάμῃ καὶ τρίψας σὺν ἐλαίῳ σησαμίνῳ κατάχριε. ἄλλο κατωτέρω γεγραμμένον ὠδί πως πρὸς τρίχας ῥεούσας. γῆν κιμωλίαν ἁδροτάτην βρέξον οἴνῳ αὐστηρῷ καὶ μόρων χυλῷ τοσούτῳ ὅσον συμπιεῖν μόνον, καὶ πρόσβαλε ὡς λειοτάτου ὑοσκυάμου ὀξύβαφον, εἶτα ἀναπλάσας τροχίσκους καὶ ξηράνας ἐν σκιᾷ ἀπόθου εἰς ἀγγεῖον κεραμεοῦν καινόν. ἐπὶ δὲ τῆς χρήσεως διεὶς ὕδατι καταχρίεσθαι κέλευε. εἶτα ὅταν ξηρανθῇ, ἐκκλυζέσθω δι᾽ ἡμερῶν ε′. τὸ αὐτὸ ποιεῖ. ἔτι δὲ ποιεῖ καὶ πρὸς τὰ ἐν τῷ προσώπῳ καὶ τραχήλῳ λειχηνώδη. ἄλλη αὔξουσα ταχέως καὶ δασύνουσα καὶ μελαίνουσα. λάδανον λέανον μετ᾽ ἐλαίου καὶ γλυκέος οἴνου καὶ ποιήσας πάχος τοῦτο κατάχριε προσμηξάμενος. καὶ μετ᾽ ὀλίγα πάλιν ἕτερον γέγραπται
12.434 φάρμακον κατὰ λέξιν οὕτως. πρὸς ῥύσιν τριχῶν τὴν χωρὶς νόσου γιγνομένην. κράμβην ξηρὰν λείαν μεθ᾽ ὕδατος κατάπλασσε ἢ λωτοῦ ῥίζαν ὁμοίως.

Τίνι διαφέρει τοῦ κομμωτικοῦ τὸ κοσμητικὸν τῆς ἰατρικῆς μέρος. Τῷ μὲν κομμωτικῷ σκοπός ἐστι κάλλος ἐπίκτητον ἐργάσασθαι, τῷ δὲ τῆς ἰατρικῆς μέρει τῷ κοσμητικῷ τὸ κατὰ φύσιν ἅπαν ἐν τῷ σώματι

φυλάττειν, ᾧ καὶ τὸ κατὰ φύσιν ἔπεται κάλλος. ἀπρεπὴς γὰρ ὀφθῆναι κεφαλὴ πάθος ἀλωπεκίας ἔχουσα, καθάπερ γε κἂν ἐκ τῶν ὀφθαλμῶν αἱ βλεφαρίδες ἐκπέσωσι καὶ τῶν ὀφρύων αἱ τρίχες. οὐ μόνον δ' εἰς κάλλος, ἀλλὰ καὶ πολὺ πρότερον εἰς αὐτὴν τὴν ὑγείαν τῶν μορίων αἱ τρίχες αὗται συντελοῦσιν, ὡς ἐν τοῖς περὶ χρείας μορίων ἐδείχθη. τί δεῖ λέγειν περὶ λειχήνων ἢ ψώρας ἢ λέπρας ὡς παρὰ φύσιν ταῦτα; τὸ μέντοι λευκότερον τὸ χρῶμα τοῦ προσώπου ποιεῖν ἐκ φαρμάκων ἢ ἐρυθρότερον ἢ τὰς τρίχας τῆς κεφαλῆς οὔλας ἢ πυρρὰς ἢ μελαίνας ἢ καθάπερ αἱ γυναῖκες ἐπὶ μήκιστον αὐξανομένας, ταῦτα καὶ τὰ τοιαῦτα τῆς
12.435 κομμωτικῆς κακίας ἐστὶν, οὐ τῆς ἰατρικῆς τέχνης ἔργα. διὰ δὲ τὴν κοινωνίαν τούτων ἐνίοτε καὶ βασιλικαὶ γυναῖκες ἢ οἱ βασιλεῖς αὐτοὶ προστάττουσιν ἡμῖν καὶ τὰ τῆς κομμωτικῆς, οἷς οὐκ ἔνεστιν ἀρνεῖσθαι διδάσκοντας διαφέρειν τὴν κομμωτικὴν τοῦ κοσμητικοῦ μέρους τῆς ἰατρικῆς. διὰ τοῦτο οὖν ἔδοξέ μοι καὶ τὰ ὑπὸ Κρίτωνος γεγραμμένα φάρμακα διαφυλακτικὰ τριχῶν καὶ αὐξητικὰ κατὰ τὸ πρῶτον τῶν κοσμητικῶν ἐφεξῆς ὑπογράψαι.

Τὰ ὑπὸ Κρίτωνος γεγραμμένα φάρμακα διαφυλακτικὰ τριχῶν καὶ αὐξητικὰ καὶ προφυλακτικὰ τῆς ῥύσεως αὐτῶν. Ἐν τῷ πρώτῳ τῶν κοσμητικῶν ὁ Κρίτων εὐθέως ἐν ἀρχῇ μετὰ τὸ προοίμιον οὑτωσί πως ἔγραψεν αὐτοῖς ὀνόμασιν. πρὸς μὲν οὖν διατήρησιν τῶν τριχῶν χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. Ἡρακλείδου Ταραντίνου διαφυλακτικὰ τριχῶν. ἀνεμώνης τὸ ἄνθος τρίψας μετ' ἐλαίου κατάχριε. τὸ δ' αὐτὸ καὶ μελαίνει. ἄλλο. λάδανον πρόβρεχε οἴνῳ αὐστηρῷ καὶ τρίψας ἀναλάμβανε μυρσίνῳ ἐλαίῳ καὶ ὑπόχριε τὰς τρίχας πρὸ
12.436 βαλανείου. ἄλλο. περιστερεῶνα τὸν ὀρθὸν λεγόμενον σὺν ταῖς ῥίζαις ξηράνας καὶ κόψας σῆθε λεπτοτάτῳ κοσκίνῳ, εἶτα μίξας ἐλαίῳ, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος εἰς ἀγγεῖον χαλκοῦν ἀπόθου, καὶ ὅταν σαπῇ, χρῶ ἀντ' ἐλαίου ὁμοίως. ἄλλο. ℞ λαδάνου μέρη δύο, πολυτρίχου ὅ τινες ἀδίαντον καλοῦσι μέρος α′. οἴνου καὶ μυρσίνου ἐλαίου μέρος ἓν, ἡμεῖς δὲ ἀντὶ τοῦ μυρσίνου ἐλαίου ἐχρησάμεθα ναρδίνῳ. ἄλλο. τὸ δ' αὐτὸ καὶ ὑπομελαίνει. ℞ μύρτων μελάνων γο γ′. λαδάνου τὸ ἴσον τρῖβε διαλύων ἀκακίας καρποῦ τῷ ἀφεψήματι, τουτέστι τῶν λεγομένων ἀκάνθης κερατίων. ὅταν δὲ σχῇ γλοιοῦ τὸ πάχος, ἀναλάμβανε, ναρδίνῳ ἢ μυρσίνῳ

ἢ ἄλλῳ τινὶ τῶν ἡδυσμάτων. ἄλλο ἄλειμμα διαφυλακτικὸν τριχῶν, τὸ δ' αὐτὸ καὶ ὑπομελαίνει. μύρτων μελάνων α . σελίνου σπέρματος α . σεύτλου σπέρματος α . μυρσίνης ἀκρεμόνων α . ἀδιάντου τὸ . λαδάνου τὸ ἴσον, οἴνου μέλανος στ . ἕψε μέχρι παντελοῦς διαλύσεως,
12.437 καὶ ὅταν τὸ τρίτον ἀπολειφθῇ, ἐπίβαλλον ἐλαίου ἤ τινος ἡδύσματος β΄ ἢ τρεῖς, καὶ πάλιν ἕψε. ὅταν δὲ δὶς ἢ τρὶς ἀναβράσῃ, ἐκθλίψας τὸ ὑγρὸν καὶ σακκίσας ἐπιμελῶς ἀπόθου εἰς ὑδρίαν, ἐπὶ τῆς χρήσεως κείρων παντελῶς χρῶ, περιαλείφων δὶς τῆς ἡμέρας τὰς τρίχας. ἄλλο. ℩ γλυκέος Κρητικοῦ α΄. λαδάνου γο α΄. φλοιοῦ στροβίλων κεκαυμένων γο β΄. πολυτρίχου κεκαυμένου γο α΄. στέατος ἀρκτείου λίτραν α΄. σεύτλου χυλοῦ ϰυ γ΄. ἕψε τὸ λάδανον καὶ τὸ γλυκὺ μέχρι συστάσεως, εἶτα ἐπέμβαλε τὰ λοιπὰ καὶ ἀνελόμενος εἰς ἀγγεῖον μολυβδοῦν φύλαττε. ἐπὶ δὲ τῆς χρήσεως ἀνιεὶς ὅσον ἐξαρκεῖ, ἐν ᾧ θέλεις ἡδύσματι ἡ χρῆσις καθ' ἡμέραν. ἔνιοι δὲ ξυρήσαντες τὴν κεφαλὴν ἐπέχρισαν τῷ φαρμάκῳ, μηδέ τινι διαλύσαντες. ἄλλο. ℩ λαδάνου γο α΄. γλυκέος α΄. φλοιοῦ στροβίλων κεκαυμένων ϛ β΄. ἐν ἄλλῳ ϛ α΄. ΄΄. σφαῖραν θαλασσίαν κεκαυμένην καὶ τετριμμένην α΄. Κιλικίου μέλανος κεκαυμένου καὶ τετριμμένου ϰυ γ΄. πολυτρίχου κεκαυμένου καὶ τετριμμένου ϰυ β΄. στέατος ἀρκτείου λίτραν α΄. ἕψε καὶ
12.438 σκεύαζε καθὰ προείρηται. ἄλλο διαφυλακτικὸν τριχῶν καὶ ταῖς ῥεούσαις θριξὶν βοηθοῦν. ℩ σελίνου σπέρματος γο β΄. καλλιτρίχου οὐγγίας β΄. λιβάνου γο β΄. κάρυα βασιλικὰ ἀριθμῷ ιε΄. λαδάνου γο β΄. στροβίλου φλοιοῦ λίτραν α΄. πάντα βαλὼν εἰς χύτραν καινὴν καὶ στόμα ἀργίλῃ περιπλάσας, ὅπτα ἐν καμίνῳ βαλανείου, εἶτα ἐξελὼν τρῖψον τὰ ἐγκείμενα καὶ τούτοις ἐπιβαλὼν στέατος ἀρκτείου λίτραν καὶ μίξας ἀνελοῦ εἰς πυξίδα πρινίνην. ἐπὶ δὲ τῆς χρήσεως αἱρῶν τοῦ φαρμάκου ὅσον ἐξαρκεῖ, ἀνάκοπτε ᾧ θέλεις ἡδύσματι καὶ χρῖε τὴν κεφαλὴν δὶς τῆς ἡμέρας. ἔνιοι δὲ καὶ ξυρῶντες τὴν κεφαλὴν ἐπιχρίουσι τῷ φαρμάκῳ ἀνειλημμένῳ στέατι ἀρκτείῳ. ἄλλο πρὸς φαλάκρωσιν, ᾧ ἐχρήσατο Ἀνδρόμαχος ὁ νεώτερος. λαγωῶν κοιλίας ἓξ ἐκλαβὼν καὶ ξηράνας ἐπιμελῶς φρῦγε ἐν ἀγγείῳ ὀστρακίνῳ. πρὸς τούτοις λάμβανε μύρτων γο γ΄. καὶ τῶν ἀκρεμόνων τὸ ἴσον, ἀδιάντου γο γ΄. ταῦτα πάντα προσεχῶς φρύξας κόπτε καὶ σῆθε λεπτῷ κοσκίνῳ, εἶτα ἐπιβαλὼν στέατος ἀρκτείου
12.439 καὶ φώκης τὸ ἴσον ἀνάκοπτε καὶ ἀνελόμενος εἰς πυξίδα μολυβδίνην

φύλαττε, ἐπὶ δὲ τῆς χρήσεως ἄνιε ᾧ βούλει ἡδύσματι. περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον.

Περὶ βαμμάτων τῶν τριχῶν. Μετὰ τὰ γεγραμμένα φάρμακα γράφοντος ἄλλα τοῦ Κρίτωνος, ἃ καὶ τὰς τρίχας μὲν ἐπαγγέλλεται διαφυλάττειν, τὸ πρῶτον δ᾽ αὐτῶν ἔργον ἐστὶ βάπτειν αὐτὰς, ὡς ἤτοι μελαίνας ἢ ξανθὰς γίγνεσθαι, παραλιπεῖν ἔδοξέ μοι τό γε κατ᾽ ἀρχὰς ἅπαντα τὰ τοιαῦτα προφανῶς ὄντα κομμωτικὰ, ἐπεὶ οὐκ οἶδ᾽ ὅπως ἤδη δόγμα κοινὸν γέγονε τὰς γυναῖκας γηρώσας μελαίνειν τὰς τρίχας τῆς κεφαλῆς, ὡς αἰσχρὸν ὂν ἔχειν πολιὰς, καὶ τοῦτο καὶ αὐτοῖς τοῖς ἄρρεσι δοκεῖ καί φασιν ἐπαχθὲς εἶναι γραῦν γυναῖκα πολιὰν ἔχειν τὴν κεφαλήν. ὅσαι μὲν τρυφῶσαι κοσμοῦσιν ἑαυτὰς, οὐδεμιᾷ τούτων ἀξιούσῃ τι τοιοῦτον ὑπ᾽ ἐμοῦ δοθῆναι παρέσχον, ὅσαι δὲ σεμνότεραι τό τε παράσημον φεύγουσαι καὶ τὰς ὑπ᾽ αὐτῶν τῶν ἀρρένων ἐνοχλήσεις ἐξιστάμεναι μελαίνειν
12.440 ἠβουλήθησάν πως τὰς τρίχας ἄνευ τῆς ἐκ τοῦ μελασμοῦ τῶν στυφόντων βλάβης, ἐκείναις συνεβούλευσα χρῆσθαι τῇ καλουμένῃ κεδρίᾳ, χριομέναις μὲν αὐτῇ πρὸ τριῶν ἢ τεσσάρων ὡρῶν τοῦ λουτροῦ, σμωμέναις δὲ μετὰ ταῦτα, καὶ τοῦτο ποιεῖν δι᾽ ἡμερῶν τεσσάρων ἢ πέντε. πρὸς γὰρ τῷ μηδὲν βλάπτειν ἔτι καὶ προσωφελεῖ τὰς ἑτοίμως ὑπὸ ψύξεως βλαπτομένας, ἱκανῶς θερμαῖνον φάρμακον οὖσα ἡ κεδρία. χρὴ δ᾽ αὐτὴν ἄμικτον ἐλαίου παραλαμβάνειν ἐπὶ τῶν ξηρανθῆναί τε καὶ θερμανθῆναι σφοδρῶς δεομένων κεφαλῶν, αἷς ὑγρὰ δηλονότι καὶ ψυχρὰ δυσκρασία κατ᾽ αὐτάς ἐστιν. ἐπὶ δὲ τῶν ἄλλων ἐλαίῳ μιγνύντας τοῦτο τὸ φάρμακον καὶ τὰς ῥεούσας τρίχας ἐπανορθοῦται καὶ τὰς μὴ ῥεούσας ἐναυξεστέρας ἐργάζεται. τὴν δ᾽ ὀσμὴν αὐτοῦ φεύγουσιν αἱ τρυφῶσαι γυναῖκες, οὖσαν οὐκ ἀηδῆ ταῖς εἰς ἔθος ἀφικέσθαι τῆς χρήσεως ὑπομεινάσαις. ἐν Ἀσίᾳ δὲ παρ᾽ ἡμῖν αἱ ἐν τοῖς ὄρεσιν ἄγροικοι γυναῖκες οὐ μόνον κεδρίᾳ χρίονται μετ᾽ ἐλαίου μιγνύουσαι τό τε σύμπαν σῶμα καὶ τὴν κεφαλὴν, ἀλλὰ καὶ
12.441 πίττῃ τῇ ὑγρᾷ μετ᾽ ἐλαίου κατὰ τὸν αὐτὸν τρόπον μεμιγμένῃ καταχρίουσι τὰς ἐν τῇ κεφαλῇ ῥίζας τῶν τριχῶν καὶ καλοῦσι τὸ σύνθετον τοῦτο φάρμακον πισσέλαιον, ἕτερον ὂν τοῦ πισσάνθου καλουμένου, ὃ ταῖς ὑγραῖς ἐφίσταται πίτταις, λεπτομερέστερον ὑπάρχον αὐτῶν καὶ τῇ συστάσει καὶ τῇ δυνάμει. τὰ μὲν οὖν τοιαῦτα φάρμακα βραδέως ποιεῖ πολιοῦσθαι, μηδὲν βλάπτοντα τοὺς χρωμένους, τὰ δὲ διὰ τῶν αὐστηρῶν

τε καὶ στρυφνῶν συγκείμενα βλάπτει μεγάλως. τὴν δ’ ὕλην ἐξ ὧν σύγκειται ταῦτα, τῆς στυπτικῆς ὀνομαζομένης ποιότητός τε καὶ δυνάμεως οὖσαν, ἔχειν τι χρὴ καὶ λεπτομερὲς, ὡς μὴ μόνον ἐπιπολῆς, ἀλλὰ καὶ διὰ βάθους ἀλλοιοῦν τὸ δέρμα, μέχρι τοῦ κατὰ τὰς ῥίζας τῶν τριχῶν τόπου. αὕτη μὲν οὖν ἡ τῆς συνθέσεως αὐτῶν ἐστι μέθοδος. ἔχεις δὲ ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ τὰς κατὰ μέρος αὐτῶν ὕλας, ἐν αἷς αὐτῶν αἱ δυνάμεις τε καὶ ποιότητες εἴρηνται. δυνήσῃ τοιγαροῦν ἐξ ἐκείνων τά τ’ ἤδη συγκείμενα τοῖς ἔμπροσθεν ὁποίας ἐστὶ
12.442 δυνάμεως εὑρίσκειν αὐτός τε συντιθέναι. χρήσιμον δὲ τοῦτο καὶ πρὸς διάγνωσίν ἐστι τῶν γιγνομένων παθῶν ἐνίοτε ταῖς βλαπτομέναις γυναιξὶν καὶ πρὸς τὴν τῶν ἀποβησομένων πρόγνωσιν, ἴασίν τε τῶν παρόντων. οὐ μόνον γὰρ ἐν κινδύνῳ γενομένας οἶδα πολλάκις γυναῖκας, ἀλλὰ καὶ ἀποθανούσας ἐκ τοῦ καταψυχθῆναι τὴν κεφαλὴν ὑπὸ τῶν τοιούτων φαρμάκων. ἡ βλάβη δ’ αὐταῖς μάλιστα γίγνεται ποτὲ μὲν εἰς ἀποπληξίαν ἢ ἐπιληψίαν ἢ καταφορὰν ἢ κάρον ἢ τὴν καλουμένην κατάληψιν ἐμπιπτούσαις. ἔστι δ’ ὅτε κατάρροις ἁλισκομέναις δυσλύτοις, ὡς φθάσαι τὸν πνεύμονα παθεῖν καὶ φθόην ἐξ αὐτῶν ἀκολουθῆσαι. βλάπτονται δὲ θᾶττον μὲν αἱ ψυχροτέραν τὴν κρᾶσιν τῆς κεφαλῆς ἔχουσαι, βραδύτερον δὲ αἱ θερμοτέραν. τὰ μὲν γὰρ ψυχρὰ μόρια τοῖς ψυχροῖς πάθεσι, τὰ δὲ θερμὰ τοῖς θερμοῖς ἁλίσκεται ῥᾷον. ὅ γε μὴν κίνδυνος ἧττων, ὡς ἂν ἐπὶ μικροτέροις αἰτίοις βλαπτομένων τῶν ψυχροτέραν ἐχουσῶν τὴν κρᾶσιν. αἱ δὲ θερμαὶ διότι δυσπαθεῖς εἰσιν τοῖς ψύχουσιν αἰτίοις, ὅταν ὑπὸ μεγάλων νικηθῶσι, μείζονα φέρουσι τὴν
12.443 βλάβην ὑποπεπτωκυῖαν τῷ κοινῷ καὶ καθόλου λόγῳ, τῷ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένῳ. ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν οἷς ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης καὶ τῆς ἕξιος καὶ τῆς ὥρης ἡ νοῦσος μᾶλλον ἢ οἷς ἂν μὴ οἰκείη κατά τι τουτέων.

Περὶ τῶν μελαινόντων τὰς τρίχας φαρμάκων Ἀρχιγένους. Εἶπον ὀλίγον ἔμπροσθεν, ὡς οὐ κατὰ τὴν ἐμὴν γνώμην ἰατρὸς ἂν τὰ τοιαῦτα μεταχειρίζοιτο, προστάττουσι δ’ ἐνίοτε βασιλικαὶ γυναῖκες, αἷς οὐκ ἔστιν ἀρνήσασθαι, μελανθῆναι βουλόμεναι τὰς τρίχας ἢ ξανθισθῆναι, διὸ καὶ τὸν Ἀρχιγένη νομίζω καίτοι σεμνότατον ὄντα, γεγραφέναι περὶ αὐτῶν ὧδέ πως αὐτοῖς ὀνόμασιν. μελαίνει τρίχας ταῦτα. καππάρεως ῥίζα λεία

σὺν γάλακτι γυναικείῳ, ἔνιοι δὲ ὀνείῳ μέχρι τὸ τρίτον λειφθῇ, ἐψήσας, κατάπλασσον εἰς νύκτα. ἢ οὔρῳ κυνείῳ τηρηθέντι ἐπὶ ἡμέρας πέντε ἢ ἓξ σμήχου. ἢ πρίνου ῥίζης φλοιὸν ἑψήσας μέχρις ἁπαλὸς γένηται, τούτῳ
12.444 μὲν κατάπλασσε, τῷ δὲ ὕδατι σμήχου. ἢ ἀνεμώνης τὸ ἐντὸς μέλαν, τριβὲν σὺν ἐλαίῳ μυρσίνῳ καταψῶ. ἢ λιθάργυρον, κιμωλίαν, στυπτηρίαν ὑγρὰν ἴσα προσμηξάμενος καὶ τὰς τρίχας ξηράνας εἰς νύκτα κατάχριε καὶ φύλλοις τεύτλου ἐπάνω ἐπίδει. ἢ γῆν Σελινουσίαν, λιθάργυρον, ἄσβεστον, ὕδατι μέλιτος πάχος, κονίᾳ ὑγρᾷ προσμήξας κατάχριε ἀνὰ τρίχα καὶ ὁμοίως φύλλα τεύτλου ἐπιθεὶς κατάδει, πρωΐας δὲ ἀποτινάξας τὰς τρίχας κατάψησον. ἢ ἀψινθίου, ὀστῶν φοινικίων Συριακῶν, κυάμων Αἰγυπτίων πάντων κεκαυμένων ἰδίᾳ τῆς σποδοῦ ἴσα οἴνῳ Μενδησίῳ γλοιῶδες ποιήσας, κηρωτὴν μυρσίνην ὑγρὰν μῖξον καὶ καταψῶ. ἢ ἰτέας φλοιοῦ χυλὸν μετ᾽ ἐλαίου τρῖβε, ἄκρως μελαίνει. ἢ ἀπὸ καρύας τὰ ὡσανεὶ βοτρύδια ἐλαίῳ ἑψήσας ὑγρὰν ἄσφαλτον μῖξον καὶ χρῶ. ἐφεξῆς τοῖς προειρημένοις καὶ ταῦτα ἔγραψεν ὁ Ἀρχιγένης. μελαίνει πώγωνα φελλὸς ἄβροχος καὶ μόλυβδος κεκαυμένος, σὺν τεύτλου ὠμοῦ χυλῷ μέλιτος πάχος χρίσας, ἔασον ἕως ἀρίστου, εἶτα κλύζου. ἢ σκωρίαν σιδήρου καὶ μόλυβδον ἐν ὄξει ἑψήσας μέχρι τὸ τρίτον λειφθῇ, ἐπιχρίου
12.445 ἐλαίου ἀπεχόμενος. τούτοις ἐφεξῆς ὁ Ἀρχιγένης ἐκ τῆς κομμωτικῆς κακοτεχνίας ὄντα καὶ ταῦτα ἔγραψε· πυρρὰς δὲ ποιοῦσιν θέρμοι ὠμοὶ σὺν ὕδατι καὶ νίτρῳ καταχριόμενοι. καὶ ταῦτα δὲ περὶ ξανθισμοῦ. περὶ δὲ τῆς οὐλοποιήσεως τριχῶν ὧδε. οὐλὰς δὲ ποιήσεις τρίχας, ἐὰν ἀφρῷ ἁλὸς μετὰ σμύρνης σμήχῃς. ἢ ὀπῷ καρπάσου χρῖε καὶ μένουσιν οὖλαι καὶ μέλαιναι. ἢ μύρτοις καὶ τεύτλου σπέρματι ἴσοις, λείοις σὺν ἐλαίῳ χρῶ. ἢ ἀσφοδέλου ῥίζῃ μετὰ ἀκράτου συγχρίου ἢ λεπύχανα θέρμων καὶ ὀλίγον νίτρον ἐν ὕδατι βρέξον ἐφ᾽ ἡμέρας τέσσαρας καὶ χρῶ. τούτων τῶν φαρμάκων ἐμνημόνευσα, δηλῶσαι βουλόμενος ἀναγκάζεσθαί τινας καὶ τῶν σεμνοτάτων ἀνδρῶν, ἐμπειρίαν κτᾶσθαι καὶ τῶν κομμωτικῶν φαρμάκων. ὅπου γὰρ Ἀρχιγένης οὐκ ἠδέσθη γράφων αὐτὰ, πολὺ μᾶλλον ἄν τις Κρίτωνι συγγνῷη κατὰ τὴν αὐτοκρατορικὴν οἰκίαν ἰατρεύσαντι. φαίνεται δὲ καὶ ὁ Ταραντῖνος Ἡρακλείδης πολλὰ καὶ δόκιμα φάρμακα τῆς κομμωτικῆς θεωρίας γεγραφὼς, καίτοι μήπω τοσαύτης τρυφῆς
12.446 κατεχούσης τὰς γυναῖκας ὅση νῦν ἐστιν. ἀλλὰ καὶ τὰ τοῦ Ἡρακλείδου καὶ

Κλεοπάτρας, ὅσοι τ᾽ ἄλλοι μετ᾽ αὐτοὺς ἐν τῷ μεταξὺ γεγόνασιν ἰατροὶ φάρμακα πάντα συνήθροισεν ὁ Κρίτων. πρὸς ἐκεῖνον οὖν ἀναπέμπω τοὺς βουλομένους μελασμούς τε καὶ ξανθίσεις τριχῶν ὅσα τ᾽ ἄλλα τοιαῦτα μανθάνειν. ἔγραψε γὰρ τέτταρα βιβλία κοσμητικῶν, ἃ πάντες ἔχουσιν. τί ἂν οὖν ἔγωγε μεταγράφοιμι νῦν αὐτὰ, δυναμένων τῶν βουλομένων παρ᾽ ἐκείνου μανθάνειν; ἐν μὲν τῷ πρώτῳ βιβλίῳ τὰ περὶ τῶν τριχῶν πάντα καταρχὰς εὐθὺς γεγραμμένα, τῶν δ᾽ ἄλλων τῶν ἐφεξῆς κατὰ τὴν οἰκείαν τάξιν. ὅπως οὖν ῥᾳδίως εὑρίσκοιεν οἱ ζητοῦντες, ἕκαστα τῶν τοιούτων φαρμάκων ἔδοξέ μοι δηλῶσαι τὰ κεφάλαια τῶν καθ᾽ ἕκαστον βιβλίων. ἐν μὲν οὖν τῷ πρώτῳ ταῦτά ἐστιν.

Τοῦ πρώτου τῶν Κρίτωνος κοσμητικῶν κεφάλαια. διαφυλακτικὰ τριχῶν. αὐξητικὰ τριχῶν. προφυλακτικὰ τριχῶν. βάμματα πολιῶν. βάμματα ὥστε ξανθὰς καὶ χρυσιζούσας ποιεῖν. σμήξεις τριχῶν. ἐπίχριστα προφυλακτικά.
12.447 προσώπου τετανώματα. προσώπου ἐπίχριστα λαμπρυντικά. προσώπου καταπλάσματα λαμπρυντικά. ὀφρύων ἐπίχριστα. ὀφρύων μελάσματα. ὀφθαλμῶν ἐπίχριστα. στιμμίσματα ἔγχριστα. πρὸς δυσωδίαν μυκτήρων. ὀδόντων ἀποτρίμματα. διαμασήματα πρὸς μασχαλῶν δυσωδίαν. περιτρίμματα. διαμασήματα πρὸς δυσωδίαν στόματος.

Τοῦ δευτέρου κεφάλαια. ῥύμματα πρὸς τὰς ἐπὶ τοῦ τραχήλου μελανίας. ἐπίχριστα πρὸς τὰς τῶν μασχαλῶν συνιδρώσεις. ἐπίχριστα μαστῶν διαφυλακτικά. κοιλίας καθαρτικά. σμήγματα χειρῶν λαμπρυντικά. πρὸς τὰς ἐκ τόκου μελανίας. πρὸς τὰς ἐκ τόκου ῥυτίδας. πρὸς τὰς ἐκ τόκου ῥαγάδας. ἐπιχρίσματα πρὸς τὰς τῶν ὀμφαλῶν ἐξοχάς. ἀνήβων παιδίων διαφυλακτικά. παρθενίας διαφυλακτικά. πρὸς τὰς καθύγρους καὶ καταψύχρους γυναῖκας. πρὸς οὐλὰς μελαίνας. ψίλωθρα τριχῶν. σμήγματα λεπτυντικὰ παντοῖα. ἐπίχριστα ἀφανιστικὰ τριχῶν. σμήγματα ὅλου τοῦ σώματος. καθαρτικὰ λαμπρυντικὰ παντοῖα. καταπλάσματα ἀρωματικὰ τοῖς ἱματίοις. εὐώδεις βαφαὶ ἱματίων. ῥάσματα θαλάμων καὶ
12.448 περιπάτων. θυμιαμάτων παντοίων σκευασία. χρισμάτων καὶ μύρων παντοίων σκευασίαι. ἀμυγδαλίνου, βαλανίνου, καρυΐνου, σησαμίνου, μυρσίνου, σχινίνου, δαφνίνου, ῥοδίνου, γλευκίνου, μηλίνου, οἰνανθίνου, σαμψυχίνου, τηλίνου, σουσίνου, ὃ ἔνιοι κρίνινον καλοῦσι, κικίνου,

ἰρίνου, ναρκισσίνου, φοινικίνου, κυπρίνου, κροκίνου, ναρδίνου, ἀμαρακίνου, ἡδυχρόου, μενδησίου, μαλαβαθρίνου.

Τοῦ τρίτου κεφάλαια. πρὸς πίτυρα παντοῖα. πρὸς τὰ ἐν τῇ κεφαλῇ ἐκβράσματα. πρὸς ἀχῶρας. πρὸς φθεῖρας καὶ κόνιδας. πρὸς ἀλωπεκίας. πρὸς τὰς ἐν τῷ προσώπῳ ψωρώδεις διαθέσεις. πρὸς φακούς. πρὸς ἐφήλεις. νίμματα προσώπου. πρὸς στίγματα. πρὸς πελιώματα. πρὸς ὑπώπια. πρὸς ἰόνθους. πρὸς ἐπινυκτίδας. πρὸς τὰ ἐπὶ τῶν γενείων ὀχθώδη. πρὸς τοὺς ἐπὶ τῶν γενείων λειχῆνας. λειχήνων ἐπιχρίσματα. ἐπιθέματα ἐκδόρεια. χλωραὶ μετὰ τὰς ἐκδορὰς ἐπιτιθέμεναι. λευκαὶ πρὸς ἀπούλωσιν. φάρμακα μαλακτικὰ ἐπιτριβέντα λειχήνων.

Τοῦ τετάρτου κεφάλαια. πρὸς ἀλφοὺς μέλανας καὶ λευκούς. πρὸς οὐλὰς
12.449 μελαίνας. πρὸς λεύκας. πρὸς λέπρας. πρὸς ὄνυχας ψωριῶντας. πρὸς κνησμώδεις διαθέσεις. πρὸς ψύδρακας καὶ ἐκδάρματα. πρὸς τὰς ἑρπυστικὰς διαθέσεις. πρὸς ψωριάσεις. πρὸς θύμους. πρὸς ἀκροχορδόνας. πρὸς μυρμηκίας. πρὸς ὀμφαλοῦ ἐμπνευμάτωσιν. πρὸς ἐντέρων κατολίσθησιν. πρὸς ὑδροκήλας. πρὸς λειποδέρμους. πρὸς τοὺς προσπίπτοντας ἀρχούς. πρὸς χείμεθλα. πρὸς τὰς ἐν ποσὶ ῥωγμάς. ἐν τούτοις τοῖς τέσσαρσι βιβλίοις ὁ Κρίτων ἐπιμελέστατα σχεδὸν ἅπαντα ἔγραψε τὰ δόκιμα κοσμητικὰ φάρμακα, προσθεὶς αὐτοῖς καὶ τὰ κομμωτικά, νόθον κάλλος, οὐκ ἀληθινὸν ἐκπορίζοντα, διὸ κᾀγὼ παραλείψω μὲν αὐτά, μόνον δὲ μνημονεύσω τῶν τὸ κατὰ φύσιν κάλλος φυλαττόντων. εἰ γὰρ καὶ ὅτι μάλιστα γιγνώσκω τὰ λαμπρυντικὰ τοῦ σώματος σμήγματα καὶ τὰ τῶν τιτθῶν διαφυλακτικὰ ταῖς παρθένοις ἐπὶ πλεῖστον, ἀνήβων τε παιδίων ὄρχεις μικροὺς διαφυλάττοντα μέχρι πλείστου καὶ τὴν τῶν τριχῶν γένεσιν ἐπέχοντα, γράφειν αἰδοῦμαι τὰ τοιαῦτα καὶ πολὺ μᾶλλον ἃ Κρίτων ἔγραψε καταπλάσματα τῶν ἀρωμάτων ἐν ἱματίοις, εὐώδεις τε βαφὰς ἱματίων καὶ ῥάσματα θαλάμων
12.450 καὶ περιπάτων, θυμιαμάτων τε παντοίων ποικιλίας καὶ χρισμάτων καὶ μύρων, ἔξω γὰρ ταῦτα τῆς ἰατρικῆς. ὅταν δὲ τοῦ κατὰ φύσιν φυλακτικὰ γέγραφεν, ὅταν που δεήσῃ, μνημονεύσω, καὶ πρῶτόν γε τῶν κατὰ τὰς τρίχας, ὅσα μοι δοκεῖ χρήσιμα τοῖς ἰατροῖς ἔσεσθαι διδάξω.

Περὶ τῶν φθειρόντων τὰς τρίχας φαρμάκων. Ὡς τῶν αὐξανόντων τὰς τρίχας φαρμάκων ἑτέρα μέν ἐστιν ἰατρικὴ χρῆσις, ἑτέρα δὲ κομμωτικὴ, κατὰ τὸν αὐτὸν τρόπον καὶ τῶν φθειρόντων αὐτάς. γίγνεται γάρ ποτε καὶ τοῖς ἰατροῖς ἀνάγκη χρήσασθαι τοιούτοις φαρμάκοις κατὰ τὰς τρεῖς αὐτῶν διαφοράς. λέγω δὲ τρεῖς, ἐπειδὴ τὰ μὲν ἰδίως καλεῖται ψίλωθρα, τὰ δὲ λεπτυντικὰ τριχῶν, τὰ δὲ εἰς τὸ παντελὲς ἀναιρετικά. ταῦτα μὲν οὖν τὰ ὕστατα ῥηθέντα σφαλερὰν ἔχει τὴν χρῆσιν. ἐνίοτε γὰρ οὐ μόνον τὰ χρισθέντα μόρια τοῦ σώματος ἄτριχα τοῦ λοιποῦ πάντα γίγνεται διὰ παντὸς, ἀλλὰ καὶ μέχρι τῆς κεφαλῆς καὶ τῶν γενείων καὶ τῶν ὀφρύων
12.451 καὶ τῶν βλεφαρίδων ἡ ψίλωσις τῶν τριχῶν ἐξικνεῖται. τὰ δὲ ἕτερα δύο τὴν χρῆσιν ἀκίνδυνον ἔχει, τὰ μὲν ψιλωτικὰ τῶν τριχῶν, ἅπερ ἔφην ἰδίως καλεῖσθαι ψίλωθρα, καθ' ἑκάστην ἡμέραν ἐν χρήσει γιγνόμενα ταῖς γυναιξὶν ἁπάσαις σχεδὸν καί τισι τῶν ἀνδρῶν, ἕτερα δὲ τὰς λεπτοτέρας τὰς τρίχας ἐργαζόμενα καὶ μικροτέρας, ἐπιτήδεια τοῖς σκληρὰς καὶ μεγάλας καὶ πολλὰς καὶ παχείας ἔχουσιν καὶ διὰ τοῦτο φαινομένοις ὑώδεσιν. ἀλλήλων δὲ διαφέρει ταῦτα τῷ μᾶλλόν τε καὶ τῷ ἧττον, ἐπεὶ τὸ γένος αὐτῶν ἓν, ἐξ ἐκείνων συγκείμενον τῶν φαρμάκων, ὅσα σηπτικὴν ἔχει ἢ καυστικὴν δύναμιν, ἀμείνω δὲ δηλονότι τὰ σηπτικὴν ἔχοντα, τὴν γὰρ χρῆσιν ἀκινδυνοτέραν ἴσχει. κινδυνωδεστέρα δέ πώς ἐστιν ἡ τῶν καυστικῶν, ἐάν τις ἀμελήσῃ βραχὺ, φλυκταινούντων ἢ ἑλκούντων ἢ ὀπωσοῦν ἐπικαιόντων τὸ δέρμα. τὴν δὲ κατὰ μέρος ὕλην αὐτῶν ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν ἅπασαν ἔγραψα. παραδείγματος δ' ἕνεκεν οἷς συνεχῶς χρώμεθα καὶ δὴ φράσω. τῶν μὲν οὖν ὑγρῶν ἡ στακτὴ καλουμένη κονία τοιαύτην ἔχει
12.452 δύναμιν· τῶν δὲ ξηρῶν καὶ μεταλλικῶν, ἀρσενικόν τε καὶ σανδαράχη καὶ τίτανος ἡ ἀκατάσβεστος, ἣν οἱ πολλοὶ καλοῦσιν αὐτὸ δὴ τοῦτο μόνον ἄσβεστον. εὔδηλον οὖν ὅτι τῶν σφοδρῶν ἐν αὐτοῖς ἡ δύναμις θραύεται μίξει τῶν ἀσθενεστέρων φαρμάκων ὑγρῶν τε καὶ ξηρῶν, ὧν τὴν συμμετρίαν στοχαστικῶς μὲν πρῶτον ὁ τῆς δυνάμεως αὐτῶν ἔμπειρος ποιεῖται, διὰ δὲ τῆς ἐμπειρίας ἐπανορθοῦται τὸ ἐλλεῖπον ἢ προστίθησιν. ὅπως δὲ καὶ τούτων ὅσαι διὰ τῆς πείρας ἐκρίθησαν ἔχητε, παραγράψω τὰς ὑπὸ Κρίτωνος ἐν τῷ πρώτῳ τῶν κοσμητικῶν εἰρημένας ἐπιδείξας πρότερον, ὅτι καὶ τοῖς ἰατροῖς ἀναγκαία πολλάκις ἡ χρῆσις αὐτῶν

γίγνεται. ὥσπερ τὰ βάμματα δυνατὸν ἡμῖν ἀρνεῖσθαι τῆς κομμωτικῆς ὄντα κακίας, οὕτως ἀδύνατον ἀρνεῖσθαι τὰ ψιλωτικὰ τῶν τριχῶν. ἐὰν μὲν γὰρ ἔχῃ συμμέτρους τις τρίχας, οὐχ ὑπηρετήσομεν αὐτῷ τρυφῶντι περιττῶς. ἐὰν δὲ πάνυ πολλὰς καὶ μακρὰς καὶ σκληρὰς, εὔλογον εἶναι δοκεῖ ταύτας ἐλάττους τε καὶ λεπτοτέρας καὶ μαλακωτέρας καὶ
12.453 ἀραιοτέρας ἐργάζεσθαι. γίγνεται δέ ποτε χρεία καὶ τοῖς πολλὰς ἔχουσι καὶ βαθείας, οὐ μὴν σκληρᾶς γε παντελοῦς αὐτῶν ἀφαιρέσεως, ὅτε ἤτοι πιττώσεως δέηται τὸ πᾶν σῶμα, χρώμεθα γὰρ ἐνίοτε τῷ βοηθήματι τούτῳ κατὰ τὸν τῆς ἰατρικῆς λόγον, ἢ καί τι φάρμακον ἐμπλαστὸν ἐπιτεθέντων ἡμῶν, ἀναγκαῖον ἦν πάσας τοῦ μέρους προαφελεῖν τὰς τρίχας, ὅπερ ἔνεστι μὲν καὶ διὰ ξυροῦ ποιεῖν, ἔνιοι δὲ εἴτε κατ᾽ ἀλήθειαν ἢ καὶ πλαττόμενοι δεδιέναι φασὶ τὸ ξυρόν. ἐνδέχεται γὰρ ὑπ᾽ αὐτοῦ τρωθῆναι τὸ δέρμα. τινὲς δὲ ἴσως καὶ δεδίασιν εὐλόγως καὶ μάλισθ᾽ ὅταν δεήσῃ ξυρᾶσθαι τὰ κατὰ τὸν λάρυγγα χωρία. διὰ ταῦτα ὁμοῦ ἀναγκαῖόν ἐστι τῷ ἰατρῷ καὶ τῶν τοιούτων φαρμάκων ἐμπειρίας ἔχειν τῆς τε συνθέσεως καὶ τῆς χρήσεως.

Ψίλωθρα τὰ ὑπὸ Κρίτωνος γεγραμμένα κατὰ λέξιν οὕτως. Ψίλωθρα τριχῶν. ℞ ἀρσενικοῦ χρυσίζοντος ϙ ζ′, ἢ ι′, ἀσβέστου τὸ ἴσον, ἀμύλου γο β′, γῆς τῆς λεγομένης Ῥωμαϊστὶ Σελινουσίας γο α′. ἅπαντα τρίψας σήσας λεπτοτάτῳ κοσκίνῳ ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως, αἱρῶν τοῦ
12.454 φαρμάκου ὅσον ἐξαρκεῖ ἀνάκοπτε ὕδατι, εἶτα ἐπιχρίεσθαι παραίνει καὶ προσέχειν ὅπως μὴ ἐπικαῇ. ἄλλο παραχρῆμα λεῖον ποιεῖ. ℞ ἀσβέστου μέρη δύο, ἀρσενικοῦ μέρος α′. ταῦτα βαλὼν εἰς θυΐαν μολυβδίνην καὶ ὕδωρ ἐπιχέας ἢ πτισάνης χυλὸν τρῖβε, καὶ ὅταν μέλαν γένηται, θερμαίνοντας κέλευε καταχρίεσθαι καὶ τοῦτο ποιεῖν ἐν βαλανείῳ, λεῖον γὰρ ποιεῖ τὸ σῶμα. εἰ δὲ φυομένη λεπτὴ ἀναβαίνει, ἔψε τὴν κονίαν καὶ τὸ ἀρσενικὸν τρῖβε μεθ᾽ ὕδατος καὶ εἰς ἀγγεῖον κεραμεοῦν ἀκόνιτον βαλὼν ἔψε, καὶ ὅτε συστραφῇ καὶ μέλαν γένηται, ἐπιχριέσθω. Πάριδος τοῦ ὀρχηστοῦ παραχρῆμα τὰς τρίχας αἴρει. ℞ σανδαράχης γο α′. ἀσβέστου α′. ἔψε μεθ᾽ ὕδατος ἐπιμελῶς καὶ ὅταν ἄρξηται ἀναζεῖν, ἀνελόμενος χρῶ. τοῦτο δὲ ἔσται φανερὸν εἰ πτερὸν καθιέντι σοι εἰς τὸ ψίλωθρον ἀπομαδίσει συντόμως. ἄλλο. ℞ ἀμύλου γο α′. ἀσβέστου γο α′. ἀρσενικοῦ γο α′. κόψας καὶ σήσας ἀπόθου καὶ χρῶ καθάπερ εἴρηται. Ἡρακλείδου

Ταραντίνου παραχρῆμα αἴρει τὰς τρίχας. Ⲏ ἀσβέστου α ′ . κιμωλίας α ′ .
12.455 κισσήρεως κεκαυμένης α′. ἀρσενικοῦ μέρη δ′, λεῖα ποιήσας ἀπόθου, ἐπὶ δὲ τῆς χρήσεως ἄνιε ὕδατι καὶ χρῶ καθάπερ προείρηται. ταῦτα μὲν οὖν ὁ Κρίτων ἔγραψε, χρῆσθαι δὲ αὐτοῖς ἄμεινον, ὡς καὶ νῦν αἱ γυναῖκες χρῶνται καταχρίουσαι τὸ σῶμα, κᾆπειτα εἰς χλιαρὸν οἶκον εἰσιοῦσαι βαλανείου, κᾆπειδὰν ἱδροῦν ἄρξωνται, στλεγγίδι τὸ φάρμακον ἀφαιροῦσι κατά τι μέρος τοῦ σώματος, εἶτα ἂν αἴσθωνται τὰς τρίχας συναφαιρουμένας αὐτῷ, τὸ λοιπὸν ἅπαν ἀποπλύνουσι σῶμα.

Ἀφανιστικὰ τριχῶν. Γέγραπται καὶ περὶ τούτων ἐν τοῖς κομμωτικοῖς βιβλίοις, ἐκπεπτωκότων ἤδη τῆς ἰατρικῆς ὕλης, διὸ κᾀγὼ μόνον τῶν ἁπλῶν ἐν αὐτοῖς ἀναμνήσω, λεγομένων κᾀν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ. συντιθέασι γὰρ τὰ προκείμενα κατὰ τὸν λόγον φάρμακα, διά τε τοῦ λαγωοῦ θαλαττίου καὶ ἥπατος θύννου σεσηπότος καὶ κεδρίας καὶ βατράχου τῶν ἐν τοῖς χλωροῖς καλάμοις νεμομένων τῶν ἰχώρων καὶ χελώνης θαλαττίας τοῦ αἵματος, ἀμπέλου τε λευκῆς τοῦ
12.456 δακρύου κισσοῦ τοῦ δακρύου καὶ βρυωνίας ὁμοίως, ἐλαίου τε τοῦ ἀνάλου καλουμένου καὶ διὰ τῶν θαλασσίων σκολοπένδρων καὶ κνίδης τῆς θαλασσίας ἀστέρων τε τῶν θαλασσίων, νίτρον τούτοις καὶ ἀμόργην μιγνύντες. ἄλλα δὲ ἰσχυρότερα δι’ ἐχίνων τε καὶ σαλαμάνδρας συντιθέασιν, ἕψοντες ἐν ἐλαίῳ, μιγνύουσι δ’ αὐτοῖς καὶ τὰ ἀλκυόνια καὶ τὴν σανδαράχην καὶ ὅσα ἄλλα τοιαῦτα.

Λεπτυντικὰ τριχῶν. Τοῖς λεπτυντικοῖς τῶν τριχῶν χρήσαιτο ἄν ποτε καὶ ἰατρὸς, ὡς ἔφην, οὐ τῆς αὐτῆς δυνάμεως οὖσι τοῖς ψιλωτικοῖς. ἣν γὰρ ἐκαλέσαμεν ἐν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων ὑπομνήμασι δύναμιν ῥυπτικὴν, ταύτης ἐστὶ τὰ λεπτυντικὰ τῶν τριχῶν. ὥσπερ δὲ ἐν ἅπασι τοῖς ὁμογενέσι φαρμάκοις ἡ διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττόν ἐστιν, οὕτω καὶ ἐν τοῖς ῥυπτικοῖς. τὸ μὲν οὖν τῶν κριθῶν καὶ τὸ τῶν κυάμων, ἔτι τε πρὸς τούτοις ὀρόβων, ἀφρονίτρου τε καὶ νίτρου συνήθη πᾶσίν εἰσιν εἰς ἀφαίρεσιν ῥύπου χρωμένοις αὐτοῖς. ἡ δὲ συνεχὴς χρῆσις καὶ λεπτύνει τὰς τρίχας. ὅσα δὲ ἰσχυροτέραν ἔχει τὴν ῥυπτικὴν δύναμιν, ἐπὶ τῶν πάνυ
12.457 σκληρὰς καὶ μεγάλας ἐχόντων τὰς τρίχας ἁρμόττει παραλαμβανόμενα. τῶν τοιούτων μὲν οὖν ἤδη φαρμάκων ἐστὶ καὶ τὸ κεκαυμένον νίτρον καὶ

ὁ ἀφρὸς τοῦ νίτρου τό τε ἀφρῶδες ἀφρόνιτρον. ἐν δὲ τῇ συνεχεῖ χρήσει καὶ τὰ μέλαινα καλούμενα σκεύη τὰ Ἀλεξανδριωτικὰ κοπτόμενα δηλονότι καὶ διαττώμενα λεπτῷ κοσκίνῳ. τοῖς πένησι δ' ἐγὼ καὶ τὰ τῶν κεραμίδων ὄστρακα καὶ τὰ τοῦ κλιβάνου καὶ τὴν κίσσηριν ἄκαυστόν τε καὶ κεκαυμένην ἐδήλωσα. προῖκα δ' ἂν ἔχοι τις ἐπὶ θαλάττῃ διατρίβων ἢ πόλει μὴ πόρρω θαλάττης, ὄστρακα κεκαυμένα κηρύκων τε καὶ πορφυρῶν καὶ τῶν ἄλλων ὀστρέων. τὸ δὲ τῆς σηπίας ὄστρακον καὶ χωρὶς τοῦ καυθῆναι. ταῦτα μὲν τοῖς πάνυ πένησιν, τοῖς δ' ἄλλοις ἀλκυόνιόν τε καὶ στρούθιον οἵ τε ἐλλέβοροι καὶ ἡ τῆς βρυωνίας ῥίζα καὶ ἡ τοῦ δρακοντίου καὶ ἀριστολοχίαι καὶ κάγχρου καὶ πάνακος ῥίζα καὶ τἆλλα ὅσα τοιαῦτα. λελέκται γὰρ, ὡς ἔφην, πολλὰ διὰ τῆς τῶν ἁπλῶν φαρμάκων πραγματείας. ταῦτα δ' εὐώδη ποιῆσαι βουλόμενος μίξεις
12.458 κυπέρου καὶ μελιλώτου καὶ ῥόδων ξηρῶν καὶ σχίνου ἄνθους ἴρεώς τε τῆς Ἰλλυρίδος μελισσοφύλλου τε καὶ τῆς κυδωνίας πόας. καὶ εἰ πλουσίοις σκευάζοις, ἐμβαλεῖς στάχυος νάρδου τῆς τε Ἰνδικῆς καὶ τῆς Κελτικῆς καὶ τῆς ὀρείας καὶ γῆς Ἐρετριάδος, ἐμβαλεῖς δὲ καὶ μαλαβάθρου καὶ φύλλου μαλαβάθρου καὶ ἀμώμου καὶ σμύρνης καὶ κρόκου καὶ κόστου καὶ ἡδυχρόου. τῷ δὲ ἀποροῦντι πολυτελοῦς ὕλης καὶ δι' εὐτελεστέρας οἱ τὰ κοσμητικὰ συνθέντες ἐπενόησαν, ὧν καὶ Κρίτων μέμνηται ἐν τῷ πρώτῳ τῶν κοσμητικῶν γράφων ὧδε. λαβὼν χύτραν ὀστρακίνην καινὴν, πῶμα ἔχουσαν μεγάλην, ἔμβαλλε εἰς αὐτὴν κατὰ θέσιν βώλους κιμωλίας. συγκείσθωσαν δὲ οὗτοι κατὰ τὸ ἐνδεχόμενον θεατροειδῶς, ὥστε τὸ μέσον αὐτῶν εἶναι κενόν. μεταξὺ δὲ τῶν βώλων τεθέσθω παραλλήλως μῆλα κυδώνια πρόσφατα εἴκοσι, ταῦτα ἐκ διαλειμμάτων ἀλλάσσειν παραίνει, εἶτα πωμάσας ἔα μαραίνεσθαι τὰ μῆλα. ἐπὶ δὲ τῆς χρήσεως αἱρῶν ὅσον ἐξαρκεῖ καὶ λεαίνων χρῆσθαι παραίνει. μετὰ δὲ τὴν τῶν ψιλώθρων
12.459 ἐπίθεσιν, ἔχει ἡδεῖάν τινα ὀσμήν. ἄλλο. ῥόδα μάλιστα εὐωδέστατα ψύξας ἐν σκιᾷ, ἐπὶ μίαν ἡμέραν ὥστε αὐτὰ μόνα ἱκμάδα μὴ ἔχειν, συντίθει εἰς ἀγγεῖον ὀστράκινον καὶ βώλους κιμωλίας καθὰ προείρηται, ὥστε ὑπεστρῶσθαι τὰ ῥόδα καὶ πάλιν μεταξὺ τῶν βώλων ἐντίθεσθαι, εἶτα πωμάσας ἔα συμπίνειν. ἡ χρῆσις δεδήλωται.

Περὶ πιτυριάσεως. Πιτύροις ὅμοια ἀπὸ τοῦ τῆς κεφαλῆς δέρματος ἀποπίπτει πολλάκις ἐνίοις κνωμένοις καὶ διὰ τοῦτο πιτυρίασιν

ὀνομάζουσιν οἱ ἰατροὶ τὸ σύμπτωμα τοῦτο, γιγνόμενον ὑπὸ μοχθηρῶν ἰχώρων οὓς ἐκδαπανῆσαι σκοπός ἐστι τοῖς ἰωμένοις αὐτό. πρόδηλον οὖν ὅτι διαφορητικὰ καὶ ῥυπτικὰ προσακτέον ἐστὶ φάρμακα, προπαρασκευάσαντας τὸ σύμπαν σῶμα εἰ φαίνοιτο κακοχυμίας μεστόν. ἐπὶ πάντων γὰρ ἠξίωσα τούτου μεμνῆσθαι, κἂν παραλείπηταί που κατὰ τὸν λόγον. ἔμιξαν δέ τινες τοῖς εἰρημένοις φαρμάκοις καὶ τῶν στυφόντων ἔνια, ῥωννύναι βουλόμενοι τὸ πεπονθὸς μόριον, ὡς μὴ ῥᾳδίως εἰς ἑαυτὸ καταδέχοιτο τοὺς ἐπιρρέοντας ἰχῶρας, ἀλλ’
12.460 ἀντιβαίνοιτο καὶ ἀποκρούοιτο, καὶ διὰ τοῦτο καὶ Ἀρχιγένης ἐπὶ τοῦ διὰ χαλκάνθου συντιθεμένου φαρμάκου προσέγραψε κατὰ λέξιν οὕτως. τοῦτ’ ἐνεργεῖ ὡς μηδὲν τὸ λοιπὸν γενέσθαι. Κρίτων μὲν οὖν ἐν τῷ τρίτῳ τῶν κοσμητικῶν τὴν τῶν τοιούτων φαρμάκων ὕλην ἔγραψεν, εὐθέως κατὰ τὴν ἀρχὴν τοῦ βιβλίου, καὶ διὰ τοῦτο, καθάπερ ἀρτίως εἶπον, οὐκ ἀναγκαῖον ἐμὲ γράφειν αὐτὰ πάντων ἐχόντων τὰ βιβλία. τῶν δ’ ὑπ’ Ἀρχιγένους γεγραμμένων μνημονεύσω μάλιστα, ἐπειδὴ καὶ προσέγραψεν αὐτῶν ἐνίοις τὸ μὴ αὖθις ἐᾷν γενέσθαι τὸ σύμπτωμα, γράφει δὲ οὕτω πως αὐτοῖς ὀνόμασιν. δίαιτα δὲ ἔστω τούτοις ἄφυσος μηδὲν τῶν παχυχύμων ἔχουσα, οἷά ἐστιν ὕδνα, μύκητες, βολβὸς, ὄσπριον καὶ κρέα μάλιστα βόειον καὶ τὰ ὅμοια. ἔστω δὲ τὰ προσφερόμενα εὔχυλα, εὔπεπτα καὶ προσπλεκέσθω μέλι ταῖς τροφαῖς. ἔμβαμμα, ὄξος μετὰ ἐψήματος, ἄρτυμα, κύμινον, μάραθρα. τῶν δὲ ἄλλων πεφεισμένη ἡ χρῆσις ἔστω καὶ μάλιστα τραγήματος παντὸς φείδεσθαι καὶ οἶνος λευκὸς καὶ λεπτὸς
12.461 χρήσιμος εἰς ἡδονὴν δὲ ὁ γλυκὺς καὶ τὸ οἰνόμελι. ὀπώρας ἄριστον σταφυλὴ μαρανθεῖσα, εἶτα σῦκα πρὸ τροφῆς σιτεῖσθαι ἄμεινον. εὐπεψίας δὲ παντὸς μᾶλλον φροντιστέον, περίπατοι πρᾳεῖς πλεῖστοι καὶ ἔωθεν καὶ δείλης ἄριστοι. ψυχρολουσία βαλανείων κρειττων. θερμολουτοῦντι δὲ ἀνοίκειον ἡ πολλὴ διατριβὴ ἐν τῷ ἀέρι καὶ ἡ κατὰ κεφαλῆς περίχυσις μᾶλλον τῆς ἐμβάσεως ἀμείνων καὶ μετὰ ταῦτα δαψιλῶς τῷ ψυχρῷ ἀνάψυχε. ὑπνοῦν εἰς κόρον χρήσιμον. ὀργῆς καὶ θυμοῦ καὶ ἡλιώσεως καὶ σφοδρᾶς ψύξεως ἀπέχεσθαι καὶ πάντων τῶν τὴν κεφαλὴν πληρούντων. Ἀρχιγένους πρὸς πιτυρίασιν. ἐφ’ ὧν δὲ πίτυρα ἐν τῇ κεφαλῇ ἐστιν, προσμίξας τήλει μετὰ τεύτλου χυλοῦ καὶ νίτρου, κιμωλίαν χολῇ βοείᾳ ἢ ὑείᾳ καὶ ὄξει φυρῶν κατάχριε, εἶτα μεθ’ ὥραν ἀποκλύσας ἐπίχριε

χαλκάνθῳ καὶ νίτρῳ μετ᾽ ἐλαίου λείοις ἢ μυροβάλανον καὶ κυάμινον ἄλευρον, ἴσα λεάνας ἐν ὕδατι ἔψε καὶ σμῶ. ἄλλο. ἀμυγδάλοις πικροῖς λελεπισμένοις μεθ᾽ ὕδατος ἢ ὄξους σμῶ. ὅταν δὲ ξηρανθῶσιν αἱ τρίχες,
12.462 ἀπόπλυνε θερμῷ. ἢ μαλάχην ἀγρίαν ἐν θαλάσσῃ ἑψήσας μέχρι τὸ δέκατον λειφθῇ λέαινε καὶ σμῶ. ἢ νίτρου ἀφρὸν καὶ χάλκανθον, ἴσα μετ᾽ οἴνου χρῶ τρὶς ἢ τετράκις τοῦ μηνός. τοῦτο ἐνεργεῖ ὡς μὴ τὸ λοιπὸν γενέσθαι. ἢ τρυγὶ οἴνου Ῥοδίου ἢ κισσήρει καὶ νίτρῳ, ἴσοις μετὰ θέρμων σμῆχε. ἢ κιμωλίᾳ μετὰ τήλεως ἀποβρέγματος ἢ νίτρῳ ὀπτῷ καὶ βολβῷ, τούτοις ἅμα ὅλοις ἴσοις σμῶ. ἢ πίσσης ὑγρᾶς ὀρρὸν καταχρίσας στυττηρίαν ἐπίπασσε.

Περὶ φθειριάσεως. Φθειρῶν γένεσις ἐν τῇ κεφαλῇ συμβαίνει τισὶν ἀθρόως. παμπόλλων ἐξ ὑγρῶν δηλονότι θερμῶν μὲν, οὐ μὴν εἰς τοσοῦτον ἡκόντων θερμότητος εἰς ὅσον ἥκουσιν οἱ δριμεῖς ἰχῶρες, ὥστε δῆλόν ἐστιν ἐν τῷ βάθει τοῦ δέρματος γίγνεσθαι τὴν διάθεσιν τῆς φθειριάσεως, ἔνθα καὶ γεννᾶσθαι τὰ ζῶα ταῦτα δυνατόν ἐστιν, οὐκ ἐπιπολῆς τοῦ δέρματος, ἐν ᾧ τὴν πιτυρίασιν ἐλέγομεν συνίστασθαι. φάρμακα τοίνυν αὐτῶν ἀναγκαῖον εἶναι ξηραντικὰ καὶ μᾶλλον ἐκ τοῦ βάθους ἕλκειν τε καὶ κενοῦν δυνάμενα τῶν πρὸς τὰς πιτυριάσεις
12.463 ἁρμοττόντων. αὕτη μὲν ἡ μέθοδος αὐτῶν τῆς συνθέσεως. τὸ δὲ τῆς πεπειραμένης ὕλης, δεῖ γὰρ ἐν ἅπασιν, ὡς ἔφην, μάλιστα προσέχειν καὶ θαρρεῖν τοῖς ὑπὸ τῆς πείρας μαρτυρηθεῖσιν, ἐν μὲν τῷ τρίτῳ τῶν Κρίτωνος κοσμητικῶν γέγραπται. παραθήσομαι δὲ καὶ νῦν ἐγὼ τὰ τοῦ Ἀρχιγένους ὡδί πως ἔχοντα κατὰ λέξιν. βοηθήματα φθειριάσεως. ἐπὶ δὲ φθειριώντων Ꜧ σταφίδος ἀγρίας μέρη δύο, σανδαράχης καὶ νίτρου ἀνὰ μέρος α ′ . σὺν ὄξει καὶ ἐλαίῳ ἄλειφε τὴν κεφαλήν. ἢ ῥοῦν τὸν ἐπὶ τὰ ὄψα, σὺν ἐλαίῳ λεάνας ἄλειφε ὁμοίως. ἢ ὀξυλαπάθου ῥίζαν μετ᾽ ἐλαίου ὁμοίως, ἢ ἐλλέβορον λευκὸν καὶ σταφίδα ἀγρίαν καὶ νίτρον, ἴσα μετ᾽ ἐλαίου ἐν βαλανείῳ χρῶ. ἢ ἐν θαλάσσῃ ἢ ἐν ἅλμῃ ἀκράτῳ μετ᾽ ὄξους κατάντλει. εἰ δὲ ἐψίλωται, τῇ ἀγρίᾳ σταφίδι μετ᾽ ὀξελαίου κατάπλασσε. ἢ στυπτηρίαν λείαν μετ᾽ ἐλαίου κατάχριε.

Περὶ ἀχώρων. Ἕν τι τῶν ἐν τῷ δέρματι τῆς κεφαλῆς γιγνομένων παθῶν ἐστιν ὁ καλούμενος ἀχὼρ, ἐκ μὲν τοῦ γένους τῶν παρὰ φύσιν ὄγκων

12.464 ὑπάρχων, ἰδίας δὲ ἐξαιρέτου προσηγορίας τυχὼν, ἐπὶ τῇ τῶν συμπτωμάτων ἰδιότητι. λεπτοῖς γὰρ πάνυ τρήμασι κατατιτρᾶται, νοτίδα λεπτὴν ἔχουσιν ὑγρότητος ἀτρέμα γλίσχρου. πλησιάζει δὲ αὐτῷ κατὰ τὴν ἰδέαν ἕτερον πάθος τοῦ δέρματος ὃ καλοῦσι κηρίον, ἐπειδὴ τὰς κατατρήσεις ἔχει μείζονας, ὑγρότητά τε περιεχούσας ὑμηττίῳ μέλιτι παραπλησίαν. ἡ γένεσις δ' αὐτοῖς ἐξ ὑγρότητός ἐστι μικτῆς, τὸ μέν τι λεπτὸν ἰχῶρα δακνώδη, τὸ δέ τι παχὺν ἐχούσης χυμόν. ὁ μὲν οὖν λεπτὸς, ἅτε δακνώδης ὢν, τὰ μὲν πρῶτα κνησσᾷν αὐτὰς ἀναγκάζει, τῷ χρόνῳ δ' ἐπὶ ταῖς κνήσεσιν, ὅ τ' ὄγκος αὐξάνεται τά τε τρήματα κατ' αὐτῶν συνίσταται. δῆλον οὖν ὅτι κενῶσαι χρὴ τοὺς ἐργαζομένους τὸ πάθημα χυμούς. εἰ δὲ ἐπιρρέοιεν ἔτι, κωλῦσαι πρότερον τὴν ἐπιρροὴν τῇ τε τῆς κεφαλῆς κενώσει καὶ πρὸς αὐτοῖς ὅλου τοῦ σώματος ὡς ἐπὶ τῶν ἀλωπεκιῶν προείρηται. μικροῦ δὲ τοῦ παθήματος ὄντος ἀρκεῖ πολλάκις μόνα τὰ τοπικά τε καὶ μερικὰ προσαγορευόμενα, χωρὶς τῆς τοῦ παντὸς
12.465 σώματος κενώσεως. ἁρμόσει δ' αὐτοῖς διὰ μὲν τὸ πάχος καὶ τὸ γλίσχρον τοῦ γεννῶντος αὐτοὺς χυμοῦ τὰ τέμνοντα τοῦτο φάρμακα, τῇ δυνάμει δὲ αὐτῶν ὑπάρχοντα ἐξ ἀνάγκης τοῦ διαφορεῖν καὶ ἀναστέλλειν. καὶ τῷ ὄξει δὲ ἐξαίρετόν τι πρόσεστιν ἐκ τῶν τεμνόντων ὄντι, πρὸς τῷ διαφορεῖν ἀναστέλλειν τε καὶ ἀποκρούεσθαι τὸ ἐπιρρέον, ὡς ἂν ἔχοντι μὲν κατὰ τὴν οὐσίαν ὀλίγον θερμὸν, ἔχοντι δὲ τὸ πλεῖστον αὐτῆς ψυχρὸν λεπτομερές. ἐδείχθη γὰρ ὂν τοιοῦτον ἐν τῷ πρώτῳ περὶ τῆς ἁπλῶν φαρμάκων δυνάμεως. ἔστω τοιγαροῦν ὀξὺ τὸ ὄξος ἀκριβῶς, οὐδὲν ὅλως ἐμφαῖνον οἴνου ποιότητος, καὶ τοῦτο δεύων ἄλλοτε ἄλλῳ τῶν μεταλλικῶν ὀνομαζομένων φαρμάκων ἰάσῃ τοὺς ἀχῶρας. ἄρξαι δὲ ἀπὸ τῶν ἀσθενεστέρων καὶ μάλιστ' ἂν ὀδύνη τις αὐτοῖς συνῇ. κιμωλία τε οὖν ἐπιτήδειος εἰς τοῦτο καὶ ἡ Κρητικὴ καὶ ἡ Λημνία γῆ, πομφόλυξ τε καὶ σπόδιον καὶ λιθάργυρος, ἥ θ' ἁπαλὴ καδμεία. μὴ παυομένου δ' ἐπὶ τούτοις, τὸ διὰ τοῦ χάρτου φάρμακον ξηρὸν ὄξει δεύσας ἐπίχριε. δῆλον δ'
12.466 ὅτι προαφελὼν τὰς τρίχας ταῦτα πράξεις. ἐὰν δὲ δριμύτερόν σοι φαίνοιτο τὸ διὰ χάρτου, μίξεις αὐτῷ λιθάργυρον. εἰ μὲν αὐτάρκως ἐκλῦσαι βούλοιο τὴν δῆξιν αὐτοῦ, τὴν ἴσην ἐν ὄγκῳ μίξεις· εἰ δ' ἐπιτεῖναι βούλοιο, βραχέως ἐλάττονα, καθάπερ εἰ καὶ πλεῖστον ἐκλῦσαι βουληθείης, πλέονα. μὴ παρόντος δέ μοι τοῦ διὰ χάρτου ποτὲ κατ' ἀγρὸν, ἐπὶ τῆς τοῦ

πάσχοντος οἰκήσεως θεασάμενος χαρτίον ἄχρηστον, αἰτήσας ἐλλύχνιον, εἶτα καύσας τὸ χαρτίον καὶ δεύσας ὄξει κατέχρισα τὸν πεπονθότα τόπον, ἀξιώσας τὸν ἄνθρωπον ἥκειν εἰς ἐμὲ κατὰ τὴν ὑστεραίαν. ᾔδειν γὰρ ὅτι σκληρόσαρκος ὢν οἷσει τὸ φάρμακον. ὡς δὲ ἀφικόμενος ὀλίγου δεῖν τεθεράπευτο, μεταβῆναι μὲν ἐφ᾽ ἕτερον οὐκέτ᾽ ἐδικαίωσα, τῷ δ᾽ αὐτῷ χρῆσθαι συμβουλεύσας ὑγιῆ τελέως ἐθεασάμην γεγονότα κατὰ τὴν ὑστεραίαν. συνετοῦ οὖν ἀνδρός ἐστι χρεία, καθάπερ εἴρηται πολλάκις, ἐπιστήμονός τε τῆς τε τῶν θεραπευομένων παθῶν οὐσίας καὶ τῆς τοῦ κάμνοντος φύσεως, ὥσπερ γε καὶ τῆς δυνάμεως τῶν φαρμάκων, οὐ κατὰ τὸ γένος μόνον, ἀλλὰ καὶ κατὰ τὴν ποσότητα γιγνώσκειν, ὡς
12.467 στοχάζεσθαι καθ᾽ ἡμέραν ἑκάστην, ὁποίου δεῖται βοηθήματος. ἐν γὰρ τῷ τὸ προσενηνεγμένον ἐπὶ τῆς προτεραίας φάρμακον ἐπιτείνειν ἢ ἐκλύειν εἰς ὅσον ὑπαγορεύει τὸ πάθος ἡ προσήκουσα θεραπεία γίγνεται. πρὸς ἀχῶρας φλεγμαίνοντας. ἐὰν δέ ποτε περιπέσῃς ἀχῶρι φλεγμονώδει τε καὶ ὀδυνώδει, παρηγορήσεις δηλονότι τὴν ὀδύνην αὐτοῦ πρότερον ὑγρῷ φαρμάκῳ, πεπτικῷ τε καὶ μαλακτικῷ καὶ ἀδήκτῳ, ὁποῖόν ἐστι τὸ πάρυγρον ὑπό τε Ἥρα καὶ ἄλλων πολλῶν γεγραμμένον. εὔδηλον δ᾽ ὅτι τοῦτο αὐτὸ μαλάξας ἐπὶ τῆς χειρὸς διὰ σπαθομήλης ἅμα ῥοδίνῳ καὶ ποιήσας ἐπίχριστον οὐκ ἔμπλαστον οἷον ἐξ ἀρχῆς ἦν ἐπιθήσεις. ἐπιτήδεια δὲ ἐν τῷ τοιούτῳ καιρῷ καὶ τὰ πρὸς τὰς ὀδυνωμένας ἐφ᾽ ἕλκεσιν ἢ ῥήξεσιν ἕδρας ἁρμόττοντα. περὶ ὧν εἰρήσεται κατὰ τὸν οἰκεῖον λόγον ἢ καιρὸν, ὥσπερ γε καὶ τὰ τοὺς καρκίνους παρηγοροῦντα. ταῦτα οὖν ἅπαντα προεσκεμμένῳ σοι καὶ ἡ τῶν κατὰ μέρος φαρμάκων ποικιλία
12.468 γνωσθήσεται χρησίμως. ἧς ἄρξομαι κἀγὼ, τὰ παρὰ τοῖς ἀρίστοις ἰατροῖς ἐπῃνημένα φάρμακα γράψας ἐφεξῆς.

Περὶ ἀχώρων Ἀρχιγένους. Ἃ ἔγραψεν Ἀρχιγένης περὶ ἀχώρων ἐν τῷ πρώτῳ περὶ τῶν κατὰ γένος φαρμάκων. ἐφ᾽ ὧν δὲ ἀχῶρες ἢ ἐκζέσματα ἢ ἐξανθήσεις τινές εἰσι περὶ τὴν κεφαλὴν μεθ᾽ ἑλκώσεως, ἀπεχέσθωσαν μὲν παντὸς δριμέος τε καὶ ἁλμυροῦ, ἔτι δὲ ὀξέος. εἶτα ξυρήσας τὰς τρίχας ἢ τρὶς ἢ πλεονάκις ἑκάστης ἡμέρας πλύνας θερμῷ, ἐναφεψημένης μυρσίνης ἢ σχίνον ἢ βάτου ἢ βρυωνίας ἢ συκαμίνου ἢ θέρμων ἢ φακῶν ἢ ἀσπαράγου ῥίζης, καὶ μάλιστα ὅταν ἰχῶρες πλείονες ἐκρέωσιν, κατάπλασσε ἰτέας φύλλοις μεθ᾽ ὕδατος ἢ φακῷ μετὰ μέλιτος ἢ

ἀσπαράγου ῥίζῃ ἐφθῇ ὁμοίως ἢ μίξας τῆλιν ἐν τεύτλου χυλῷ βεβρεγμένην, χρῶ ταῖς πεπειραμέναις λιπαραῖς. ἄλλο ἄκρως ποιοῦν. πίτυος φλοιὸς μετὰ κηρωτῆς ἢ καδμία μετ᾽ ἐλαίου παλαιοῦ καταχριομένη ἢ κινναβάρει ὁμοίως κατάπλασσε λείῳ μίξας αὐτῷ μύρτα
12.469 ἢ κόγχας ὀστρέων κεκαυμένας, ἕκαστον αὐτῶν μετὰ παλαιοῦ ἐλαίου κατάχριε, ἢ σπόδιον καὶ μάνναν ἐν οἴνῳ. εὐτόνως ποιεῖ καὶ χαλκῖτις μετ᾽ ὄξους καὶ ἐλαίου παλαιοῦ καταχριομένη. ἢ τεύτλου ἀφεψήματι μετ᾽ ὀλίγης κιμωλίας, ἐν βαλανείῳ μίξας ἅλας καὶ οἶνον. ἢ ὑοσκύαμον καὶ ἀείζωον μικρὸν, λεῖα σὺν ῥοδίνῳ μελιτῶδες ποιῶν κατάχριε. ἢ καθάρας τὰ ἕλκη τινὶ τῶν σμηγμάτων, οἷον κιμωλίᾳ πεφρυγμένῃ σὺν οἴνῳ, ἢ τρυγὶ οἴνου ῥοδίου κεκαυμένῃ σὺν ὄξει παλαιῷ καλῶς ἢ σικύου ἀγρίου ῥίζης ἀφεψήματι κατάντλει. ἢ τραγάκανθαν ἢ λιθάργυρον ἢ σανδαράχης τὸ διπλοῦν σὺν οἴνῳ ἢ καὶ μυρσίνῳ ὡς λιπαρῷ κατάχριε. ἢ λιθαργύρῳ καὶ ἀσβέστῳ, ἴσοις μετ᾽ ὄξους καὶ ἐλαίου κατάχριε. ἢ χαλκίτει μετὰ μυρσίνου ἢ χολῇ ὑείᾳ ὑγρᾷ κατάχριε. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν, οὐ μόνον ἐμπειρικὴν ποιησάμενος διδασκαλίαν, ἀλλὰ καὶ ἀδιόριστον. εὑρεῖν γοῦν ἔστι παρὰ τοῖς ἐμπειρικοῖς, ὅσοι γε αὐτῶν οὐκ ἐν λόγοις ἐριστικοῖς κατέτριψαν τὸν βίον, ἀλλ᾽ ἐν τοῖς τῆς ἰατρικῆς τέχνης ἔργοις φιλοπόνως ἐγυμνάσθησαν, ἐπί τισι φαινομένοις γνωρίσμασιν ἐναργεῖς
12.470 διορισμοὺς εἰρημένους; ὁποίους κἀγὼ μικρὸν ἔμπροσθεν ἐπὶ τῆς ἀλωπεκίας ἐποιησάμην, ἐρῶ δὲ καὶ νῦν ἐπ᾽ αὐτῶν ὧν Ἀρχιγένης ἔγραψεν φαρμάκων. ἔνια μὲν γὰρ αὐτῶν ἀχῶρας ἀρχομένους ἄνευ τῆς ἐν ὅλῳ τῷ σώματι κακοχυμίας ἢ πλήθους ἰᾶται, στυπτικήν τε καὶ ἀποκρουστικὴν ἔχοντα δύναμιν, ἔνια δὲ ἀπειλὴν μεγάλην ἐχόντων τῶν ἀχώρων, ἐνίσταται ταῖς αὐξήσεσιν, ἅμα μὲν ἀποκρουόμενα τὸ ἐπιρρέον, ἅμα δὲ καὶ συμπέπτοντα καὶ διαφοροῦντα τὸ περιεχόμενον, εὔδηλον δ᾽ ὅτι μικτῆς εἶναι χρὴ δυνάμεως. ἔνια δὲ τοῖς ἐπιπολῆς καὶ μικροῖς ἀρήγει μόνοις, ἃ χρὴ μέτρια ταῖς δυνάμεσιν εἶναι καὶ μηδὲν ἐρειστικὸν ἔχοντα ἐκ τῆς διαφορητικῆς ὄντα δυνάμεως. ἄλλα δὲ ἰσχυρότατα ταῖς δυνάμεσίν ἐστιν, ὡς καὶ τοὺς ὑπὸ παχέων πάνυ καὶ γλίσχρων ὑγρῶν γεγονότας ἀχῶρας ἐμπεπλασμένους τε δυσεκνίπτως τῷ δέρματι δύνασθαι κενοῦν, ὥστε κἂν ἤδη σκιρρῶδες ἔχωσί τι, καὶ τοῦτο ἐκμοχλεύειν, κἂν αὐτὴν τὴν ἕξιν τοῦ δέρματος εἰς καχεξίαν τοιαύτην ἄγῃ, ὡς διαφθείρειν τὸ

12.471 ἐπιρρέον, εἰ καὶ χρηστὸν εἴη. ταῦτα δέ ἐστι τὰ ἐκ τῶν δραστικωτάτων συγκείμενα φαρμάκων, ὁποίων ἐμνημόνευσεν ὁ Ἀρχιγένης, ἀναμίξας τοὺς ἅλας τοῖς ἄλλοις διαφορητικοῖς. ἅλες γὰρ καὶ χαλκῖτις καὶ ἡ κεκαυμένη τρὺξ οἴνου καὶ ἡ σανδαράχη καὶ ἡ ἀκατάσβεστος τίτανος ἰσχυρότατα ταῖς δυνάμεσι φάρμακα θερμαίνοντά τε καὶ δάκνοντα καὶ διαφοροῦντα. τούτου δὲ τοῦ γένους εἰσὶ καὶ αἱ χολαὶ τῶν θερμῶν καὶ ξηρῶν ζώων, ὧν οὐκ ἐμνημόνευσεν ὁ Ἀρχιγένης, ἀλλὰ τῆς ὑείας μόνης ἁπασῶν οὔσης μετριωτάτης, ἧς κατὰ τὴν δύναμίν ἐστι καὶ τὸ κιννάβαρι. πλησίον δὲ αὐτοῦ αἵ τε κεκαυμέναι κόγχαι καὶ αἱ κριθαὶ καὶ μετὰ ταῦτα τὸ παλαιὸν ἔλαιον. ὥσπερ δὲ ταῦτα μοχλεύει καὶ τέμνει καὶ διαφορεῖ τὸ βιαίως ἐσφηνωμένον, οὕτως ἀποκρούεται τὰ στύφοντα, τὰ μὲν ἁπλῶς ὄντα ἄμικτα ταῖς ἐναντίαις δυνάμεσι, τὰ δὲ ἐπικρατείᾳ τῆς στυφούσης. μυρσίναι μὲν γὰρ καὶ μύρτα καὶ ὁ τῆς πίτυος φλοιὸς τῶν ἀμίκτων ἐστὶν ἐναντίαις δυνάμεσιν, ὥσπερ καὶ ἡ βάτος καὶ ἡ συκάμινος, εἰ καὶ
12.472 μετριωτέρας στύψεως ἢ κατὰ τὰ μύρτα καὶ μυρσίνας, ἀλλὰ μετέχει γε ταύτης αἰσθητῶς. μικτῆς δὲ δυνάμεως τὸ μύρσινόν ἐστιν ἐξ ἐλαίου τε καὶ τοῦ τῶν μύρτων ἢ τῆς μυρσίνης χυλοῦ συγκείμενον, ὧν τὸ μὲν ἔλαιον μαλακτικῆς ἐστι δυνάμεως. ἡ μυρσίνη δὲ καὶ τὰ μύρτα τῆς στυπτικῆς οὐ μαλάττειν, ἀλλὰ συνάγειν καὶ σφίγγειν πεφυκυίας. ἔστι δὲ τὸ ῥόδινον ἀσθενεστέραν μὲν ἔχον τὴν στύψιν ἢ κατὰ τὸ μύρσινον, ὅμως γοῦν καὶ αὐτὸ μικτῆς δυνάμεώς ἐστιν. ὥσπερ δὲ ταῦτα ταῖς σκευασίαις ἔσχε μικτὰς δυνάμεις, οὕτως αὐτοφυῶς ἕτερα, καθάπερ ἡ σχῖνός τε καὶ ἡ κύπερος καὶ οἱ φακοί, δέδεικται γὰρ ἐν τῷ περὶ αὐτῶν λόγῳ τοῦτο. διαφορητικῆς δὲ καὶ ῥυπτικῆς ἄνευ θερμασίας αἰσθητῆς ἐστι δυνάμεως ὧν ἐμνημόνευσεν ὁ Ἀρχιγένης ἄρτι, τὸ τεῦτλόν τε καὶ ἡ κεκαυμένη κιμωλία· πρὶν δὲ καυθῆναι ἀσθενεστέρα τῆς τοῦ τεύτλου δυνάμεως, ἀλλ᾽ ἰσχυροτέρα ἐστὶν ἡ τοῦ σικύου καὶ ἡ τῆς βρυωνίας καὶ ἡ τοῦ ἀσπαράγου. λιθάργυρος δὲ κιμωλίας μὲν ἀκαύστου γενναιότερον φάρμακον, ἀσθενέστερον δὲ πολλῷ τῆς τοῦ προκειμένου πάθους ἰάσεως. ἡ καδμεία δὲ σύμμετρος ἐπὶ
12.473 τῶν μέσων κατὰ μέγεθος ἀχώρων. ἀδήκτως δὲ ξηραίνει τὸ σπόδιον, ἡ δὲ μάννα καὶ πέττει. τὸ ἔλαιον δὲ, ὡς εἶπον ἄρτι, χαλαστικῆς μέν ἐστι δυνάμεως, ἀλλ᾽ οὐκ ἰσχυρᾶς γε ταύτης, καὶ διὰ τοῦτο εὐνίκητον γίγνεται κατὰ τὴν μίξιν, ὡς μετὰ μὲν τῶν ἐμπλαστικῶν καὶ ψυκτικῶν, οἷόν ἐστι

τὸ ψιμμύθιον, ἐκεῖνο μᾶλλον ἐγχωρεῖ ἐπιδείκνυσθαι τὴν ἑαυτοῦ δύναμιν, ὡς συνάγειν τε καὶ πιλοῦν καὶ σφίγγειν τὴν οὐσίαν ὧν ψαύει σωμάτων. ἀναμέμικται δὲ ταῦτα πάντα κατὰ τὸν Ἀρχιγένειον λόγον, οὔτε ἐπὶ ποίων ἀχώρων οὔτε πότε χρηστέον ἑκάστῳ διορίσαντος αὐτοῦ. χρῆται δὲ καὶ οἴνῳ κατὰ τὸν λόγον, οὐ προσθεὶς ὁποίῳ, καίτοι παμπόλλη διαφορὰ καὶ κατὰ τοὺς οἴνους ἐστί· ὁ μὲν γάρ τις αὐστηρὸς, ὁ δὲ στρυφνὸς, ὁ δὲ γλυκὺς, ὁ δὲ δριμὺς ὑπάρχει σαφῶς. ἔνιοι δὲ καὶ πλείους ἅμα ποιότητας ἐμφαίνουσιν, ἔχοντές τέ τι καὶ γλυκὺ καὶ στῦφον καὶ δριμύ. ὅταν οὖν ἁπλῶς τις γράφῃ δεύειν οἴνῳ τόδε τι, στοχάζεσθαι χρὴ τὸν ἀναγιγνώσκοντα τίνα σκοπὸν ἡ σύθεσις ἔχει τοῦ φαρμάκου, καὶ πρὸς
12.474 τοῦτον ἀποβλέποντα τὸν ἐπιτήδειον αἱρεῖσθαι, στύφοντα μὲν ἐφ᾽ ὧν ἀποκρούσασθαι βούλει, δριμὺν δὲ ἐφ᾽ ὧν διαφορῆσαι, καὶ τοῖς ἄλλοις ὡς ἑκάστου τὴν δύναμιν ἐδηλώσαμεν ἔνθα περὶ διαφορᾶς τῶν οἴνων ἐδιδάσκομεν. ὄξος δὲ ἐπιτηδειότατόν ἐστιν ἐν παντὶ καιρῷ πρὸς ἀχῶρας, ὡς ἂν καὶ τέμνον τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς καὶ διαφοροῦν, ἀποκρουόμενόν τε τὸ ἐπιρρέον. οὐκ αὐτῷ δὲ δηλονότι μόνῳ καθ᾽ ἑαυτὸ χρήσαιτ᾽ ἄν τις, εἴ γε μὴ κατανίψαι τε καὶ καταπλῦναι βουλόμενος ἀχῶρας, ἀλλὰ δεύων αὐτῷ φάρμακα, μέτρια μὲν ἐφ᾽ ὧν ἄρχεταί τε καὶ μικρόν ἐστι τὸ πάθος, ἰσχυρὰ δὲ ἐπὶ τῶν μειζόνων τε καὶ χρονιωτέρων, ἰσχυρότερα δὲ ἐπὶ τῶν χρονιωτάτων τε καὶ δυσιατοτάτων. ἡ διαφορὰ δὲ ἡ κατὰ τὴν ἰσχὺν τῶν φαρμάκων ἄρτι μοι προείρηται. τῶν δὲ εἰρημένων ὑπὸ Ἀρχιγένους φαρμάκων οὐδ᾽ ὅλως ἂν χρησαίμην ἀειζώῳ τε καὶ ψιμμυθίῳ· τὸ μὲν γὰρ ἐμψύχει γενναιότερον ἢ προσήκει ψύχεσθαι τοὺς ἀρχομένους ἀχῶρας, τὸ δὲ ψιμμύθιον ὀλίγην μὲν ἔχει τὴν ψύξιν, ἀλλ᾽
12.475 ἔστι τῶν ἐμπλαστικῶν φαρμάκων, ἀντ᾽ αὐτοῦ δὲ χρῆσθαι πάρεστι σποδίῳ τε καὶ πομφόλυγι.

Περὶ τῶν ὑπὸ Ἀπολλωνίου γεγραμμένων ἐν τῷ πρώτῳ τῶν εὐπορίστων πρὸς ἀχῶρας. Ἔγραψεν ὁ Ἀπολλώνιος ἐν τῷ πρώτῳ τῶν εὐπορίστων πρὸς ἀχῶρας πρῶτον μὲν ὠδί πως κατὰ λέξιν· ῥοδίνῳ ἐλαίῳ τὴν κεφαλὴν ἔγχριε. δεύτερον δ᾽ ἐπ᾽ αὐτῷ τεύτλου χυλῷ παραπλησίως. καὶ τρίτον ἐπ᾽ αὐτοῖς χελώνης αἵματι χρῶ τὸν αὐτὸν τρόπον. τέταρτον δὲ δαφνίνῳ ἐλαίῳ χρῖε τὴν κεφαλήν. καὶ πέμπτον κροκίνῳ μύρῳ χρῖε παραπλησίως. τούτων δὲ τὸ πρῶτον γεγραμμένον ἀσθενέστατόν ἐστιν ἐπὶ

παιδίων καὶ γυναικῶν ἁπαλοσάρκων, ἀρχομένῳ τῷ παθήματι χρήσιμον ὄν· καὶ γὰρ πέττει καὶ διαφορεῖ καὶ ἀποκρούεται, πάντα μετρίως ποιοῦν. τὸ δὲ δεύτερον, ἔνθα τὸ τοῦ τεύτλου χυλῷ χρῆσθαι συμβουλεύειν δραστικώτερον μέν ἐστι τοῦ ῥοδίνου, διαφορητικῆς ὑπάρχον δυνάμεως, οὐ μὴν πρὸς τοὺς ἰσχυροὺς κατεσκευασμένους ἀχῶρας ἁρμόττειν δυνάμενον. τὸ δὲ τῆς χελώνης αἷμα περίεργόν ἐστι καὶ οὐδ' ἐπεχείρησά
12.476 ποτε πειραθῆναι αὐτοῦ. τὸ δ' ἐφεξῆς γεγραμμένον τὸ δάφνινον ἰσχυρῶς θερμαίνει καὶ διαφορεῖ. κεκενωμένου δὲ δεῖται τοῦ τε σώματος ὅλου καὶ τῆς κεφαλῆς, ὡς διαφορῆσαι τοὺς ἐργαζομένους τὸν ἀχῶρα χυμούς. τὸ δὲ κρόκινον μύρον ἔχει τι καὶ διαφορητικὸν καὶ στυπτικὸν καὶ πεπτικόν. ἰσχυρότερα δὲ τὰ τρία τῆς ῥοδίνου φύσεώς ἐστιν. ἐκ τῶν οὖν ἐπ' ἐκείνῳ λεγομένων καὶ περὶ τούτων ἔνεστι λογίζεσθαι. ἐπὶ τούτοις ἑξῆς γέγραπται κατὰ λέξιν οὕτως. ταύρου οὔρῳ ἀπόσμα, εἶτ' ἐφεξῆς τόδε, ποιεῖ καὶ καμήλου οὖρον τούτῳ παραπλήσιον. χρηστέον δ' ἂν εἴη τούτοις, φησὶν, ἐφ' ἡμέρας πλείους. ἀλλ' ἔγωγε φαίην ἂν πρὸς αὐτὸν οὐχ ὅπως ἐπὶ πολλὰς ἡμέρας, ἀλλ' οὐδεμιᾷ μόνῃ δύναιτο ἂν ἀνασχέσθαι καθάριος ἄνθρωπος ἐπιχεομένου αὐτοῦ κατὰ τῆς κεφαλῆς οὔρου οὐδενὸς ζώου τοιούτου, καὶ ταῦτα ἐπὶ παθήματος οὕτω μικροῦ καὶ ῥᾳδίως ἰαθῆναι δυναμένου. δὶς γάρ τοι κᾆν διὰ πασῶν ἐστι, τὸ δὴ λεγόμενον τοῦτο, ῥοδίνῳ τε χρῆσθαι, βραχυτάτην ἔχοντι δύναμιν, ὡς πρὸς τὸ προκείμενον σύμπτωμα, καὶ ταύρου καὶ καμήλου τῷ οὔρῳ, δριμυτάτοις τε καὶ χαλεπωτάτοις καὶ ἀηδεστάτοις οὖσιν. ἐφεξῆς δὲ
12.477 τούτοις γέγραπται τοιοῦτόν τι φάρμακον αὐτοῖς ὀνόμασι, πιτύρων χοίνικος τὸ . βρέξας ἐν ὕδατος κοτύλαις δύο, μετὰ δὲ ταῦτα τρίψας καὶ διηθήσας τὸν χυλὸν ἕψησον μετὰ ὄξους ἡμικοτυλίου, μέχρις οὗ γλοιοῦ πάχος λάβῃ, καὶ τούτῳ τὴν κεφαλὴν ἀπόσμα, εἶτα κλύζε ὕδατι ἢ τεύτλου ἐναφεψημένου ἢ τήλεως ἢ θέρμων, χρίσματι δὲ χρῶ ἰρίνου μύρου ὑποστάθμῃ τοῦτο τὸ φάρμακον διαφορητικόν ἐστιν ἀδήκτως, ἐκ τῶν καλουμένων ῥυπτικῶν συγκείμενον. τοιαύτης γάρ ἐστι δυνάμεως τό τε πίτυρον καὶ τὸ τεῦτλον καὶ οἱ θέρμοι. διαφορητικὸν δὲ μετὰ τοῦ θερμαίνειν μὴ σφοδρῶς ἡ τῆλις. ἐκ τούτου δὲ τοῦ γένους ἐστὶ καὶ ἡ τοῦ ἰρίνου μύρου ὑποστάθμη. περὶ δὲ τῆς τοῦ ὄξους δυνάμεως εἴρηται καὶ πρόσθεν, ὡς ἐπιτήδειόν ἐστιν εἰς τὸ τῶν ἀχώρων πάθος. χρηστέον οὖν

ὡς ἐπιτηδειοτάτῳ καὶ δραστικωτάτῳ φαρμάκῳ. ἄλλο μετὰ τοῦτο φάρμακον γέγραπται ὑπὸ Ἀπολλωνίου κατὰ λέξιν οὕτως. σικύου ἀγρίου ῥίζας ἀφεψήσας τῷ χυλῷ ἀπόσμα. ἐμάθομεν δὲ ὅτι διαφορητικῆς ἱκανῶς ἐστι δυνάμεως ἡ τοῦ σικύου ῥίζα καὶ μετὰ τοῦτο γέγραπται τόδε τὸ
12.478 φάρμακον. γῆς κιμωλίας θείου ἀπύρου ἴσον τρίψας μετὰ ὄξους ἐν βαλανείῳ ἀπόσμα καὶ θερμῷ ὕδατι ἔκπλυνε. τούτῳ καὶ καταχρίειν δεῖ τῷ φαρμάκῳ, οὐ μόνον, ὡς εἶπεν, ἐν βαλανείῳ χρῆσθαι, πάσας γὰρ ἔχει τὰς δυνάμεις ὧν δεῖται τὸ πάθος, τοῦ μὲν ὄξους ἔχοντος αὐτὰς ὡς καὶ πρόσθεν εἴρηται, μόνου δὲ τοῦ θείου περαιτέρω τοῦ προσήκοντος ἐκθερμαίνειν τε καὶ διαφορεῖν δυναμένου, διὸ καλῶς αὐτῷ τὴν κιμωλίαν ἔμιξεν, εἰς συμμετρίαν κράσεως ἄγων τὸ ἐξ ἀμφοῖν συγκείμενον. τὸ δὲ μετὰ τοῦτο φάρμακον, ἔνθα φησὶ, μαλάχην ξηράνας καὶ κόψας εἰς οὖρον κατάπασον καὶ ἀπόσμα, μέμφομαι καθόσον ἐμεμψάμην καὶ πρόσθεν τὴν τοῦ οὔρου χρῆσιν, εἰ καὶ τήν γε δύναμιν αὐτοῦ κᾀγὼ φαίην ἂν ἁρμόττειν τῷ πάθει. τὸ δὲ ἐφεξῆς γεγραμμένον, ἐν ᾧ φησιν, συκῆς φύλλα ἑψήσας ἐν ὕδατι καὶ ἐξαιθριάσας τὸ ὕδωρ καὶ τρύγα ὀπτὴν ἐμβαλὼν εἰς αὐτὸ ἀπόσμα, μετὰ δὲ ταῦτα ἔκκλυζε ῥύμμασι τὴν τρίχα, δριμὺ ποιεῖ τὸ ῥύμμα, μέχρι μὲν τῆς ἐν βαλανείῳ χρίσεως οὐ δυνάμενον ἐρεθίσαι σφοδρῶς τὸν
12.479 ἀχῶρα, καὶ μάλιστα ἂν κατακλύζῃ τις ἐφεξῆς ὡς ἐκέλευσε, τουτέστιν ὕδατι γλυκεῖ καταντλήσει τὴν κεφαλὴν, ἐπιχρίστῳ δὲ χρῆσθαι τοιούτῳ φαρμάκῳ σφαλερόν. ἔστι γὰρ ἱκανῶς δριμὺ φάρμακον ἡ κεκαυμένη τρὺξ, ὡς ἐδείχθη ἐν τῷ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. τὸ δ’ ἐφεξῆς φάρμακον ἀσφαλῆ τε τὴν χρῆσιν ἔχει καὶ χρῷτο ἄν τις αὐτῷ θαρρῶν ἐκ λιθαργύρου καὶ δαφνίνου συγκειμένῳ. θαυμάζω δέ πως, ὡς ὅμοιον τῷ δαφνίνῳ μίγνυσι τὸ ἔλαιον ὠδί πως γράφων. λιθαργύρῳ λείῳ μετ’ ἐλαίου λευκοῦ ἢ δαφνίνου προλούσας θερμῷ περίχριε. πάμπολυ γὰρ ἀπολείπεται τῆς τοῦ δαφνίνου δυνάμεως τὸ κοινὸν τοῦτο ἔλαιον, ὃ κέκληκε λευκὸν, ἀντιδιορίζων αὐτὸ τοῦ δαφνίνου. καὶ τὸ μετ’ αὐτὸ δὲ γεγραμμένον ὁμοίαν ἔχει τὴν ἀτοπίαν· ἀντὶ μὲν γὰρ τῆς λιθαργύρου ψιμμυθίῳ χρῆται, δεύει δ’ αὐτὸ μυρσίνῳ ἢ δαφνίνῳ, παμπόλλην ἔχουσι διαφορὰν φαρμάκοις. τὸ μὲν γὰρ ἀποκρουστικόν ἐστι, τὸ δὲ ἱκανῶς θερμαίνει καὶ διαφορεῖ. καὶ χρεία δηλονότι τοῦ μὲν ἀποκρουστικοῦ
12.480 καταρχάς ἐστι, τοῦ δὲ διαφορητικοῦ στηριχθέντος ἤδη τοῦ τὸν ἀχῶρα

γεννῶντος χυμοῦ. καὶ τὰ τοῦ κυνοσβάτου δὲ φύλλα, ὧν ἐφεξῆς μέμνηται κόπτειν καὶ χυλίζειν κελεύων, εἶτα ἐλαίῳ μιγνύειν, ἀσθενές ἐστι φάρμακον. ἀρχομένῳ δὲ τῷ πάθει μόνον ἐπιτήδειον, ὡς ἂν τοῦ κυνοσβάτου στύφοντος. τοιοῦτον δ' ἐστὶ φάρμακον καὶ ἡ μολύβδαινα μετὰ ψιμμυθίου φυραθεῖσα οἴνῳ, μέχρι συστάσεως ὡς κατάχριστον γίγνεσθαι φάρμακον. ἐναντίας δὲ τοῖς εἰρημένοις δυνάμεώς ἐστιν, ὧν ὁμοτίμως μέμνηται, μηδένα προσθεὶς διορισμὸν, τό τε διὰ τοῦ καρδάμου καὶ τὸ διὰ τῆς σκίλλης. γράφει δὲ περὶ μὲν τοῦ προτέρου κατὰ λέξιν οὕτως. καρδάμου καὶ ἁλὸς ἴσον στέατι χηνείῳ μίξας καὶ λεάνας χρῶ. περὶ δὲ τοῦ δευτέρου κατὰ τήνδε τὴν λέξιν. σκίλλαν εἰς κάμινον ἐγκρύψας, ὥσπερ κολοκύνθην, ὅταν μαλακὴ γένηται, ἐξίπωσον, εἶτα μίξας τῷ χυλῷ ἔλαιον μὴ πολὺ χρῖε. εὔδηλον δ' ὅτι πολὺ τούτου σφοδρότερόν ἐστι τὸ διὰ τοῦ καρδάμου σκευαζόμενον. ὃ δὲ ἐφεξῆς γράφει τῶν παρηγορικωτέρων ἐστὶ φαρμάκων, εἰ μὲν ὀδύνη τις εἴη σφοδρὰ περὶ τὸν ἀχῶρα, μέχρι τοῦ παρηγορῆσαι προσηκόντως παραλαμβανόμενον. εἰ δὲ
12.481 διαφορῆσαι σκληρὸν καὶ κεχρονισμένον ἀχῶρα βουλόμεθα, παντάπασιν ἀσθενές. ἔγραψε δὲ ὁ Ἀπολλώνιος ὠδί πως περὶ αὐτοῦ. κοτύλην ἐλαίου χαριεστάτου ἐγχέας εἰς μολυβδίνην θυΐαν καὶ δοίδυκα λαβὼν μολύβδινον τρῖβε μέχρις οὗ παχὺ ποιήσεις καὶ ὑπομελαῖνον, εἶτα χωρὶς τρίψας λιθαργύρου λίτραν μίαν καὶ ψιμμυθίου τὸ ἴσον μῖξον εἰς τὸ ἔλαιον, μετὰ δὲ ταῦτα τὴν κεφαλὴν ἐκκλύσας καὶ ξηράνας ἔγχρισον τὸ φάρμακον οὐ δι' ἐλαίου ψιλῶς, ἀλλὰ ποτὲ μὲν διὰ ῥοδίνου, ποτὲ δὲ διὰ μυρσίνου κατασκευάσας, ἐπί τε τῶν ἐν ἕδρᾳ στολίδων καὶ ῥήξεων καὶ τῶν ἑλκῶν τῶν ὀδυνωμένων ἕξεις ἄριστον, ὅσα τ' ἄλλα παροξύνονται, τῶν ἰσχυροτέρων φαρμάκων προσφερομένων. ἄκρως γὰρ ταῦτα παρηγορεῖ, κἂν φαγεδαινικὰ κἂν καρκινώδη κἂν ὁπωσοῦν ἔχοντά τι κακόηθες ὑπάρχῃ. οὔκουν ἐχρῆν αὐτοῦ τὴν σκευασίαν γεγραφέναι νῦν, ἀλλ' ὡς ἐγὼ πρόσθεν εἶπον, αὔταρκες ἦν φάναι παρηγορεῖσθαι τοὺς ὀδυνώδεις ἀχῶρας τοῖς τοιούτοις φαρμάκοις. κοινὸν γὰρ τοῦτο ἐπὶ
12.482 πάντων ἐστὶ τῶν ὀδυνωμένων, ἰδίως δὲ ποιοῦν ἐπὶ τῶν ἀχώρων. ἔγραψε δὲ ἐφεξῆς φάρμακον τοιοῦτον. ℞ λιθαργύρου ‹ η΄. πηγάνου τῶν ἁπαλῶν φύλλων ‹ ε΄. ἐλαίου δραχμὰς η΄. ὄξους κοτύλης τέταρτον, τρίψας ἐν τῷ αὐτῷ τὴν κεφαλὴν κατάχριε. τοῦτο τὸ φάρμακον ἱκανὴν ἡμῖν δέδωκε

πεῖραν. παραπλήσιον δὲ αὐτῷ τὴν δύναμίν ἐστι καὶ τὸ γεγραμμένον ὑπ᾽ αὐτοῦ ἐφεξῆς κατὰ τήνδε τὴν συμμετρίαν. ϟ ψιμμυθίου δραχμὰς στ′. λιθαργύρου δραχμὰς δ′. κηροῦ τὸ ἴσον, θείου δραχμὰς στ′. ἐλαίου ῥοδίνου ἢ μυρσίνου τὸ ἱκανὸν, ὥστε κηρωτὴν ὑγροτέραν ποιῆσαι. τὰ ξηρὰ τῇ κηρωτῇ μῖξον καὶ τὴν κεφαλὴν ἔγχριε. τοῦτο δὲ καὶ πρὸς τὰ ἐν ὅλῳ τῷ σώματι ἐξανθήματα σφόδρα χρήσιμόν ἐστιν, ὥστε ἀληθῶς καὶ τοῦτο γέγραπται τῷ Ἀπολλωνίῳ. καὶ τὸ μετ᾽ αὐτὸ δὲ διαφορητικὸν ἱκανῶς ἐστιν, ὡς ἂν ἀφρὸν ἔχων τοῦ νίτρου πολλὸν, ὡς εἴ γε μὴ τῷ πλήθει τοῦ ἐλαίου ἐκεκόλαστο, δριμύτερον ἂν ἦν ἢ προσήκει. βούλεται γὰρ ἑνὶ μέρει τῆς λιθαργύρου πενταπλάσιον ἀφροῦ νίτρου μιχθῆναι καὶ τούτοις τριβομένοις παραχεῖσθαι κατ᾽ ὀλίγον ἔλαιον, ἄχρι συστάσεως εἰς ἔγχρισιν ἐπιτήδειον.

12.483 Περὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων φαρμάκων πρὸς ἀχῶρας. Ἐν μὲν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασι τὰς καθόλου δυνάμεις τῶν ὠφελούντων ἕκαστον πάθος εἰπὼν ὀλίγων ἐμνημόνευσα παραδειγμάτων ἀφωρισμένης ὕλης, ἀναβαλλόμενος ἐνταῦθα τὸ πλῆθος ἁπάντων αὐτῶν διελθεῖν. ἐν δὲ τῷ νῦν ἐνεστῶτι λόγῳ πάντα μὲν ὅσα πᾶσι γέγραπται φάρμακα μακρὸν ἂν εἴη γράφειν. ὅσα δὲ τοῖς ἐνδόξοις περὶ τὴν ἐμπειρίαν αὐτῶν ἄμεινον ἐφάνη σοι πάντ᾽ ἐπελθεῖν, ἵνα καὶ τὰ πλησίον ἀλλήλων πάντῃ μὲν δοκοῦντα εἶναι τὰ αὐτὰ, βραχὺ δέ τι παραλλάττοντα κατὰ τὴν συσταθμίαν ἢ τὴν σκευασίαν ἱστορήσαντες οἱ τοῖσδε τοῖς γράμμασιν ὁμιλοῦντες ἐκεῖνα μάλιστα σκευάζωσιν ὧν τῆς ὕλης εὐποροῦσιν. ἐνίοτε γὰρ ἢ οὐδ᾽ ὅλως εὑρίσκομέν τινα τῶν μιγνυμένων ἢ τοιαῦτα εὑρίσκομεν, ὡς μὴ θαρρεῖν ἐμβαλεῖν αὐτά. τούτου δὲ χρὴ μάλιστα πεφροντικέναι κατὰ πάσας τὰς σκευασίας τῶν φαρμάκων, ὡς ἀκμαῖα καὶ δόκιμα πάντα
12.484 εἶναι τὰ μιγνύμενα. διὰ τοῦτο οὖν ἤδη καὶ τῶν Κρίτωνος μνημονεύσω πάντων, ἐπιμελέστερόν μοι δοκοῦντος πεπραγματεῦσθαι τὴν τῶν ἀχώρων θεραπείαν. εἰς πέντε γοῦν ἔτεμε λόγους τὴν διδασκαλίαν αὐτῶν, ὧν τοῦ πρώτου κἀγὼ μνημονεύσω.

Ὁ ΠΡΩΤΟΣ λόγος τοῦ Κρίτωνος ἐπὶ τῇ τῶν ἀχώρων θεραπείᾳ. γράφει τοίνυν αὐτοῖς ὀνόμασιν ὁ Κρίτων οὕτως. πρὸς τοὺς ἐπὶ τῆς κεφαλῆς συμβαίνοντας ἀχῶρας. γίγνονται δὲ οὗτοι τὰ πολλὰ πιτυριάσεως

προηγησαμένης καὶ σχεδὸν ψωριάσεως, ἐς τὴν ἀρχὴν χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. πρὸς ἀχῶρας προσφάτους. κόλλῃ τεκτονικῇ σὺν ὕδατι ἐψηθείσῃ κατάχριε. ἄλλο. μήκωνος ἀγρίας καὶ ὑοσκυάμου φύλλα μετ᾽ ἐλαίου κατάπλασσε. ἄλλο. συκῆς ἀκρέμονας ἢ τῶν φύλλων τὰ ἁπαλὰ τρίψας μεθ᾽ ὕδατος κατάπλαττε, χρονίων δὲ ὄντων τρῖβε μετ᾽ ὄξους. ἄλλο. καρύων πικρῶν τὰ ἐντὸς εἰς ὕδωρ χλιαρὸν ἐμβαλὼν καὶ ἐκλεπίσας τρῖβε μετ᾽ ὕδατος, καὶ ποιήσας κηρωτῆς τὸ πάχος ἐπιτίθει προξυρήσας. ἐπὶ δὲ τῶν κεχρονισμένων ἀνίει μετ᾽ ὄξους. ἄλλο. σκωρίας σιδήρου καὶ ῥόδων τὸ ἴσον τρίψας μετ᾽ οἴνου ἐπιτίθει. ἔνιοι δὲ τρίψαντες ἀναλαμβάνουσι κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου.

12.485 ΤΟΝ ΔΕΥΤΕΡΟΝ λόγον ἐπὶ τῷ τῶν ἀχώρων πάθει κατὰ τήνδε τὴν λέξιν ἔγραψε. περιτεινομένης δὲ τῆς ἐπιφανείας καὶ διὰ τοῦτο παρενοχλούσης χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. λιπαρὰ πρὸς ἀχῶρας, ψύδρακας, ἐκζέσματα, παρατρίμματα. ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή. ⳋ λιθαργύρου ⩽ ν′. πηγάνου τῶν ἁπαλῶν φύλλων ⩽ κε′. ὄξει διαλύσας καὶ ῥοδίνῳ ἀναλαβὼν ἢ μυρσίνῳ ἐπίχριε πτερῷ. ἄλλη. ⳋ λιθαργύρου ⩽ ς′. ψιμμυθίου ⩽ ρν′. πηγάνου ⩽ ρ′. σταφίδος ἀγρίας ⩽ κε′. ὄξους γ′. μυρσίνου λίτρας γ′. τρῖβε κατὰ μέρος ἐπιβάλλων τὸ ὑγρὸν καὶ συντίθει, καθάπερ προείρηται. ἄλλη. ⳋ ψιμμυθίου ⩽ ρν′. λιθαργύρου ⩽ ρ′. πηγάνου ⩽ ρ′. μυρσίνου γ′. τρῖβε, κατὰ μέρος ἐπιβάλλων τὸ ὑγρόν. ἄλλη. ⳋ ψιμμυθίου κεκαυμένου ⩽ ρ′. πηγάνου ⩽ ρ′. μάννης λιβάνου ἴσα, πίτυος φλοιοῦ ⩽ ν′. ἐλαίου μυρσίνου β′. ὄξους τὸ ἴσον, συντίθει ὁμοίως. ἄλλη. ⳋ σκωρίας μολύβδου ⩽ ρ′. ἑλίκων ἀμπέλου ⩽ ρ′. λιβάνου ⩽ ρ′. σμύρνης καὶ ἀφρονίτρου τὸ ἴσον, ὄξους καὶ μυρσίνου ὅσον ἐξαρκεῖ.

12.486 ᾽ΕΝ ΔΕ ΤΩΙ ΤΡΙΤΩΙ τοιαῦτά φησιν. χρονιζούσης δὲ τῆς διαθέσεως χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις, εἶθ᾽ ἑξῆς γράφει. Δαμοκράτειος πρὸς ἀχῶρας καθύγρους καὶ χρονίους. ⳋ λαδάνου ⩽ η′. ψιμμυθίου τὸ ἴσον, θείου ἀπύρου ⩽ δ′. οἴνῳ καὶ μυρσίνῳ ἐλαίῳ χρῶ. ἄλλη. ⳋ λιθαργύρου ⩽ η′. ἑλίκων ἀμπέλου ⩽ η′. ὑποκυστίδος χυλοῦ ⩽ δ′. ἀφρονίτρου ⩽ β′. κηκίδων ⩽ γ′. ἢ β′. ὄξει καὶ μυρσίνῳ χρῶ. ἄλλη. ⳋ σιδίων καὶ κηκίδων ἀκακίας κιρρᾶς, οἴνῳ τὰ σίδια καὶ τὰς κηκίδας ἐμβρέξας ἕψε, τὴν δ᾽ ἀκακίαν οἴνῳ διαλύσας ἐπίβαλλε τοῖς λοιποῖς

λειωθεῖσιν ἐπιμελῶς, καὶ ὅτε εὖ ἔχῃ, ἀναλάμβανε μυρσίνῳ. ἄλλη. ⳨ λιθαργύρου, ψιμμυθίου, ὑοσκυάμου, μίσυος, κωνείου ἀκρεμόνων ἴσον κεκαυμένου λιβάνου, ἀκρεμόνων ἐλαίας ἴσον ἀναλάμβανε ὄξει καὶ σχινίνῳ ἐλαίῳ καὶ χρῶ. ἄλλη σφόδρα καλή. ⳨ ψιμμυθίου κεκαυμένου ‹ η′. λιθαργύρου ‹ η′. χαλκάνθου ‹ δ′. ῥοῦ ἐρυθροῦ ‹ δ′. θείου ἀπύρου ‹ β′. ὀπίου ‹ β′. σμύρνης ‹ β′. ὄξει καὶ σχινίνῳ ἐλαίῳ.

12.487 ΤΟΝ ΔΕ ΤΕΤΑΡΤΟΝ λόγον ἐπὶ τῇ τῶν ἀχώρων θεραπείᾳ κατὰ λέξιν οὕτως ἔγραψεν. ἐπεὶ δὲ τῶν ἀναγεγραμμένων πρὸς ἀχῶρας τὰ πολλὰ ξηραίνει τε καὶ μᾶλλον ὀδύνην ἐπιφέρει, ἅτε δὴ περιτεινομένης τῆς ἐπιφανείας, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις, δι᾽ ὧν ἔνεστι χωρὶς ὀδύνης κατορθοῦν. λευκὴ ἀνίκητος ποιοῦσα πρὸς ἀχῶρας καθύγρους καὶ δυσαπαλλάκτους, ποιεῖ καὶ πρὸς ἐκζέσματα καὶ παρατρίμματα. ⳨ λιθαργύρου ‹ ρ′. κηροῦ ‹ ρ′. οἱ δὲ πεντήκοντα. ψιμμυθίου ‹ ρ′. λιβάνου ‹ κε′. στυπτηρίας σχιστῆς ‹ ιστ′. τερμινθίνης ‹ κε′. πεπέρεως λευκοῦ ‹ γ′. ἐλαίου α′. τὰ ξηρὰ κόπτε. ἔλαιον δὲ καὶ λιθάργυρον καὶ ψιμμύθιον εἰς καινὴν χύτραν ἐπ᾽ ἀνθράκων ἕψε. ὅταν δὲ μεταβάλλῃ, ἐπίβαλε κηρὸν καὶ ῥητίνην καὶ κίνει ἄχρις ἀμολύντου, εἶτα ἐπάρας ἀπὸ τοῦ πυρὸς καὶ ποσῶς ἐάσας ψυγῆναι ἐπίβαλε τὰ ξηρὰ καὶ εἰς θυΐαν μετεράσας καὶ μαλάξας ἐπιμελῶς χρῶ ἐμπλάσσων εἰς ὀθόνιον καὶ λύων διὰ τρίτης.

12.488 μᾶλλον δὲ ὠφελεῖ τὸ φάρμακον μιγνύμενον τῇ λεγομένῃ Πασίωνος μηλίνῃ, ὥστε δύο μὲν εἶναι μέρη τῆς ἀνικήτου, ἓν δὲ τῆς εἰρημένης Πασίωνος μηλίνης. ἄλλο. ⳨ ψιμμυθίου ‹ ρκ′. λιθαργύρου ‹ π′. κηροῦ ‹ κδ′. τερμινθίνης ‹ ιβ′. μάννης ‹ ιστ′. στυπτηρίας σχιστῆς ‹ η′. ἐλαίου κοτύλας β′. συντίθει καθὼς προείρηται. μηλίνη Λευκίου ἀναξηραντικὴ παντὸς ῥεύματος, ποιοῦσα πρὸς ἀχῶρας χρονίους καὶ καθύγρους. ⳨ κηροῦ δραχμὰς η′. σανδαράχης δραχμὰς δ′. στέατος μοσχείου δραχμὰς δ′. τερμινθίνης δραχμὰς β′. λιβάνου ‹ α′. σμύρνης δραχμὴν μίαν, στυπτηρίας σχιστῆς κεκαυμένης ‹ α′. πίτυος φλοιοῦ δραχμὴν μίαν, ἐλαίου μυρσίνου τὸ ἀρκοῦν. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἄλλη μηλίνη Ὑγιεινοῦ ἀναξηραντικὴ παντὸς ῥεύματος. ⳨ λιθαργύρου λίτραν μίαν, ψιμμυθίου λίτραν μίαν. ἁλὸς ὀρυκτοῦ Ⳁ′ α′. στυπτηρίας σχιστῆς λίτρας ′′. χαλκάνθους γο στ′. ἐλαίου β′. ὄξους α′. ἕψε ἔλαιον, ἅλας, ψιμμύθιον, λιθάργυρον, μέχρις ἀμολύντου. τὰ δὲ ξηρὰ κόψας, σήσας, ὄξει διαλύσας,

ἐπίβαλε ψυχομένῳ τῷ φαρμάκῳ κατὰ μικρὸν ἐπιρραίνων καὶ κινῶν
12.489 συνεχῶς, εἶτα εἰς θυΐαν μετεράσας καὶ μαλάξας ἐπιμελῶς, ἀνελόμενος χρῶ. ἡ τοῦ Θηβαίου πρὸς ἀχῶρας καθύγρους. Ƨ λιθαργύρου ‹ μη′. ψιμμυθίου ‹ κδ′. φλοιοῦ λιβάνου δραχμὰς ιβ′. κηκίδος ὀμφακίτιδος ‹ ιβ′. κηροῦ δραχμὰς η′. ῥητίνης τερμινθίνης δραχμὰς ιστ′. ἐλαίου κοτύλην α′. ′′. συντίθει καθὰ προείρηται.

Ἄρχεται δὲ τοῦ πέμπτου λόγου περὶ τῶν ἀχώρων ὁ Κρίτων οὕτως. παρακμαζούσης δὲ τῆς διαθέσεως καὶ παντελῶς οὐλῆς γενομένης εἰς μετάθεσιν τῆς ὅλης διαθέσεως χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. εἶθ’ ἑξῆς γράφει σμήγματα πλείω κατὰ τήνδε τὴν σύνθεσιν ἕκαστον. σμῆγμα πρὸς ἀχῶρας, πιτυριάσεις, τραχύτητας, ψωριάσεις. γῆς κικωλίας λίτραν μίαν, νίτρου ἐρυθροῦ λίτραν α . μυροβαλάνου πιέσματος γο στ . οἱ δὲ Ⱡ . . σμύρνης δραχμὰς η . πεπέρεως λευκοῦ δραχμὰς η . νάρδου Κελτικῆς δραχμὰς δ . κασίας δραχμὰς δ . κόστου δραχμὰς δ . κόψας σήσας ἀπόθου. ἡ χρῆσις ἐν βαλανείῳ. ἄλλο. νίτρου ἐρυθροῦ λίτρας δ . κιμωλίας γῆς τὸ ἴσον, μυροβαλάνου
12.490 πιέσματος λίτρας β . κυπέρου λίτραν α . οἱ δὲ δ . δαφνίδων λίτραν α . ἴρεως ξηρᾶς λίτραν α . βρυωνίας ῥίζης, ἀλκυονίου, ἀμυγδάλων κεκαθαρμένων, κέρατος ἐλαφείου κεκαυμένου ἑκάστου λίτραν μίαν, συντίθει καθὰ προείρηται. ἄλλο. τρυγὸς οἴνου κεκαυμένης, ἣν Ῥωμαῖοι φέκλην καλοῦσιν λίτρας κδ . ὕδατος ὀμβρίου κη . λιβανωτοῦ λίτρας β . γῆς Σαμίας λίτρας β . ἐλαίου Σαβίνου λίτρας δ . οἱ δὲ δ . κηροῦ λίτρας γ . . τὴν τρύγα καὶ τὸ ὕδωρ βαλὼν εἰς πίθον κεραμεοῦν ἀκόνιτον, ἕα βρέχεσθαι ἐπὶ ἡμέρας ζ . καὶ ἐπικίνει νάρθηκι τρὶς τῆς ἡμέρας, τῇ δὲ ἐπιούσῃ διαλύσας καὶ σακκίσας τὸ ὑγρὸν μετεράσας εἰς ἀγγεῖον χαλκοῦν γεγανωμένον καὶ θεὶς ἐπὶ τὸ πῦρ, ἕψε λαμπροτέρῳ τῷ πυρὶ χρώμενος, καὶ ὅταν τὸ τρίτον ὑπολειφθῇ, ἐπίβαλε ἔλαιον καὶ κηρὸν καὶ πάλιν ἕψε πυρὶ χρώμενος μαλθακῷ. ὅταν δὲ τὰ ἐμβληθέντα τακῇ, ἐπίβαλε λειωθέντα λιβανωτὸν καὶ γῆν Σαμίαν καὶ ἀνακόψας μεταίρα εἰς ἀγγεῖον ὑέλινον εὔτονον. τὰ γὰρ λεπτὰ ῥήγνυνται.
12.491 ἐπὶ δὲ τῆς χρήσεως, περιαλείφων τοὺς πεπονθότας τόπους καὶ ἀνατρίβων ἐπιμελῶς, ἀπονίπτεσθαι παραίνει. καλὸν μὲν ἐν βαλανείῳ· εἰ δὲ μή, κατ’ οἶκον. καὶ γὰρ χρήσιμόν ἐστι τὸ φάρμακον πρὸς πᾶσαν ῥυπαρίαν καὶ

τραχύτητα καὶ ψωριάσεις καὶ λειχῆνας. ἄλλο. Ⳋ φέκλης λίτραν μίαν, ὕδατος ὀμβρίου στ΄. λιβανωτοῦ λευκοῦ λίτρας β΄. μαστίχης λίτρας β΄. ἀλκυονίου λίτραν α΄. ἀμμωνιακοῦ θυμιάματος λίτρας β΄. γῆς Σαμίας λίτρας β΄. ἐλαίου ῥοδίνου λίτρας β΄. κηροῦ Τυρρηνικοῦ λευκοῦ λίτρας β΄. βρέχε τὴν τρύγα εἰς τὸ ὕδωρ, καθὰ προείρηται, κινῶν τρὶς τῆς ἡμέρας νάρθηκι εὐτόνως, ἔπειτα σακκίσας τὸ ὑγρὸν μετεράσας εἰς ἀγγεῖον γεγανωμένον καὶ θεὶς ἐπὶ τὸ πῦρ, ἕψε εἰς ἡμίσειαν, εἶτα ἐπίβαλε τὰ τηκτά, καὶ ὅταν διαλυθῇ, κατάπλασσε λειότατον τὸ ἀλκυόνιον. ἔστω δέ σοι ἐν ἑτοίμῳ διαλυθέντα τῷ τῆς τρυγὸς ὕδατι καὶ λεανθέντα καλῶς, λιβανωτὸς, ἀμμωνιακὸν, μαστίχη, γῆ Σαμία, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος, ταῦτα ἐπίπασσε, ἐπιβαλὼν καὶ ἀνακόψας ἐπιμελῶς καὶ ἀνελόμενος χρῶ.

12.492 ἄλλο διάσμυρνον ἐπικαλούμενον. τρυγὸς κεκαυμένης λίτρας κδ′. ὕδατος ὀμβρίου μη′. ἐλαίου Σαβίνου λίτρας δ′. κηροῦ λίτρας δ′. γῆς Σαμίας λίτρας β′. λιβάνου λίτρας β′. μαστίχης λίτραν α′. ἀμμωνιακοῦ θυμιάματος λίτραν α′. ἀλκυονίου λίτραν α′. σμύρνης δραχμὰς η′. συντίθει καθὰ προείρηται.

Περὶ τῶν ὑπὸ Κλεοπάτρας γεγραμμένων πρὸς ἀχῶρας ἐν τῷ κοσμητικῷ. Καὶ τὰ τῇ Κλεοπάτρᾳ πρὸς ἀχῶρας γεγραμμένα ἐφεξῆς εἰρήσεται κατὰ τὴν ἐκείνης αὐτῆς λέξιν. πρὸς ἀχῶρας. τήλει λεπτῇ ἐφθῇ, μέλανος τεύτλου χυλῷ βεβρεγμένῃ, ἐκκλυζέσθω ἡ κεφαλὴ ἢ τεύτλου ἀφεψήματι ἢ γῇ κιμωλίᾳ βεβρεγμένῃ τούτοις ἐκκλυσαμένῃ, καταχριέσθω μυρσίνῃ λείᾳ μετ᾽ οἰνελαίου, ἄνωθεν δὲ ἐπιτιθέσθω φύλλα τεύτλου. ἄλλο πρὸς τοὺς λίαν ἑλκώδεις. Ⳋ ψιμμυθίου πεφρυγμένου ‹ β΄. λιβάνου ‹ β΄. θείου ‹ α΄. λεῖα ποιήσας μετ᾽ ἐλαίου κατάχριε. ἄλλο καὶ πρὸς πίτυρα ποιοῦν. Ⳋ νίτρου, χαλκάνθου ἀνὰ ‹ α΄. λειώσας ἔλαιον κατάχριε καὶ ἔγχριε. ἄλλο πρὸς ἀχῶρας. σμύρναν καὶ μυρσίνης λευκῆς χλωρὰ φύλλα λεῖα, ἐν οἴνῳ

12.493 λειώσας κατάχριε. ἢ γῇ κιμωλίᾳ φωσθείσῃ σὺν οἴνῳ μέλανι κατάχριε. ἢ ψιμμυθίου καὶ μολυβδαίνης ἴσον ἑκάστου, σὺν μυρσίνῳ λειώσας κατάχριε. ἢ θείου ἀπύρου ‹ στ΄. λιβάνου ἄρρενος ‹ α΄. στυπτηρίας σχιστῆς, σταφίδος ἀγρίας, εὐζώμου, νίτρου ἀφροῦ ἀνὰ ‹ α΄. χαλκάνθους ‹ α΄. πηγάνου κλωνία τρία, λειώσας, ὄξος βάλε σύμμετρον καὶ δάφνινον ἔλαιον ἢ μύρσινον ἢ κρόκινον ἢ παλαιὸν ἔλαιον καὶ ποιήσας λιπαρὰν κατάχριε, προαποσμήξας τῷ σμήγματι τούτῳ. σμῆγμα. Ⳋ ὑσσώπου χοίνικα α΄. θέρμων χοίνικας β΄. πτισάνης χοίνικα α΄. ἐρεγμοῦ χοίνικα α΄.

σικύου ἀγρίου ῥίζης δραχμὰς δ′. ταῦτα λειώσας μῖξον καὶ δίδου σμήχεσθαι. τὸ δ’ αὐτὸ ποιεῖ καὶ πρὸς λέπραν καὶ πρὸς ἰόνθους.

Περὶ τῶν ὑπὸ Σωρανοῦ γεγραμμένων φαρμάκων πρὸς ἀχῶρας. Ἐπειδὴ καὶ ὁ Σωρανὸς ἔγραψε περί γε τῶν ἀχώρων ἔν τε τῷ τετάρτῳ περὶ φαρμακείας καὶ ἐν τῷ μονοβίβλῳ φαρμακευτικῷ φάρμακά τινα καὶ ἡμῖν διὰ τῆς πείρας ἐγνωσμένα, τὰ μὲν αὐτοῖς χρησαμένοις, τὰ δὲ παρὰ τοῖς
12.494 διδασκάλοις ἑωρακόσιν ἢ φίλοις ἰατροῖς καὶ ταῦτα προσθήσομεν, κατὰ λέξιν οὕτω γεγραμμένα. πολλῆς δὲ τῆς τῶν ἰχώρων ἀποκρίσεως ὑπαρχούσης, τῆς δὲ περιωδυνίας σφοδρῶς ἐγκειμένης, καταπλάττειν ἐφθῷ φακῷ λείῳ μετ’ ὀλίγου μέλιτος, ἢ ἄρτῳ μετὰ κοριάννου ἢ ἀρνογλώσσου ἢ στρύχνου ἢ στέρεως ἢ πολυγόνου ἢ περδικίου βοτάνης. ὁ μὲν οὖν Σωρανὸς, ὡς ἐπὶ πεπληγμένῳ τῷ πάθει τούτῳ τὰ τοιαῦτα βοηθήματα προσφέρει κατὰ τὴν ἰδίαν αἵρεσιν αἰτιολογῶν, φαίνεται δὲ ὄντως ὠφελοῦντα κατὰ τὰς ἀρχὰς καὶ τὰς γενέσεις, τῷ κοινῷ λόγῳ τῆς ἀποκρούσεως. ἐφεξῆς δέ φησι, τῶν δὲ παροξυσμῶν παρενδιδόντων, ξυρᾷν τοὺς τόπους καὶ σμήχειν τῷ τῆς τήλεως ἀφεψήματι καὶ τῷ τοῦ τεύτλου καὶ τῶν ὁμοίων δι’ ὕδατος, οὐ δι’ οὔρου, ὡς καὶ ἡμεῖς ἔμπροσθεν ἐμεμψάμεθα τοὺς δι’ οὔρου τὰς μίξεις ποιουμένους. εἶθ’ ἑξῆς γράφει φάρμακα καὶ ἡμῖν, ὡς ἔφην, ἐγνωσμένα. ℈ μολυβδαίνης, θείου ἀπύρου τὸ ἴσον, λειώσας δὲ παράχει ῥόδινον ἢ μύρσινον ἢ σχίνινον, ἄχρι
12.495 τοῦ γλοιῶδες ποιήσαντα κατάχριε. ἄλλο. θείου ἀπύρου, λιθαργύρου, ψιμμυθίου, ἑκάστου τὸ ἴσον, κρόκου τὸ ἥμισυ λειώσας μετὰ γλυκέος Κρητικοῦ κατάχριε. ἄλλο. ℈ πηγάνου λείου δραχμὰς δ′. λιθαργύρου ‹ η′. ὄξος καὶ ἔλαιον ῥόδινον μίξας κατάχριε. ἄλλο. ℈ λιθαργύρου ‹ κ′. ἀσβέστου ‹ κ′. ὄξους καὶ ἐλαίου ἀνὰ κοτύλην μίαν λεάνας ὡς τὴν λιπαρὰν κατάχριε. ἄλλο. ℈ χαλκίτεως δραχμὰς β′. σανδαράχης ‹ δ′. λιθαργύρου δραχμὴν α′. οἴνῳ αὐστηρῷ καὶ μυρσίνῳ συλλεάνας ἐπίχριε. ἐφεξῆς δὲ τούτῳ ὁ Σωρανὸς ἔγραψεν ἄλλο φάρμακον ἰσχυρὸν, ὃ κατὰ τὴν ἑαυτοῦ τῆς αἱρέσεως ἀγωγὴν ὠνόμασε μετασυγκριτικόν. ἔστι δὲ ἐπὶ τῶν χρονίων καὶ δυσλύτων ἁρμόζον, ᾧ καὶ χρώμενός τις τῶν φίλων ἰατρῶν εὐδοκίμει. ℈ ἐλαίου κεδρίνου α′. ὄξους δριμέος γ′. ἔψε ἄχρις ἂν ἐξατμισθῇ τὸ ὄξος, εἶτα ἐπίβαλε στέατος χοιρείου τεταριχευμένου παλαιοῦ λίτρας β′. τακέντος δὲ τούτου βαστάσας ἀπὸ τοῦ πυρὸς τὴν

χύτραν, προσεπίπλασσε νίτρου λείου γο η΄. θείου ἀπύρου γο στ΄.
12.496 σανδαράχης γο α΄. μετὰ δὲ τὸ ξηρανθῆναι τὸ καταχρισθὲν φάρμακον κέλευε σμήχεσθαι κατὰ τὸ βαλανεῖον, διά τε τῶν εἰρημένων καὶ δι᾽ οἴνου καὶ δι᾽ ὠῶν καὶ διὰ νίτρου καὶ δι᾽ ἀφεψήματος τῶν τοῦ ἀγρίου σικύου ῥιζῶν ἢ τρυγὶ ῥοδίᾳ καὶ κισσήρει μετὰ θερμοῦ ὕδατος.

Πρὸς ψυδράκια καὶ ἀχῶρας καὶ ἑλκύδρια καὶ ἐξανθήματα ἐν τῇ κεφαλῇ. Πρὸς τὰ εἰρημένα πάθη δεῖ προσφέρεσθαι, ἐπιτήδειον δίαιταν καὶ καθάρσει χρῆσθαι τοῦ σώματος καὶ τοῦ κρανίου, τοῖς δι᾽ ἀλόης κοκκίοις καὶ κολοκυνθίδος καὶ σκαμμωνίας, ἀναληφθέντων χυλῷ κράμβης τῶν διδομένων κοκκίων, εἶτ᾽ αὖθις τῇ τοπικῇ θεραπείᾳ χρῆσθαι, οἷόν ἐστι τὸ ἀδίαντον μετὰ ῥοδίνου ἐπιχριόμενον. ἢ τήλεως ἀφέψημα σμώμενον. ἢ μαλάχη μετὰ κριθίνου ἀλεύρου καταπλασσομένη. ἢ μελίλωτον σὺν τηλίνῳ ἀλεύρῳ, μετ᾽ οἴνου καταπλασσόμενον καὶ ἐρεβίνθων ἀφεψήματος καὶ αὐτοὶ ἑφθοὶ καταπλασσόμενοι, κάρυα πικρὰ μασηθέντα καὶ ἐπιχριόμενα. διαφορεῖ δὲ καὶ μάλιστα καὶ κρίνου ῥίζα σμωμένη καὶ
12.497 λιβανωτὸς σὺν οἴνῳ καὶ ὕδατι καὶ θέρμων πικρῶν ἀφέψημα σμώμενον, βολβοὶ σὺν νίτρῳ σμώμενοι, λίβανον μετ᾽ ὄξους καταχριόμενον, σίδια ῥόας μετὰ δαφνίνου ἐλαίου καταχριόμενα. καὶ ἀγχούσης ῥίζας καύσας καὶ λεάνας μετ᾽ ἐλαίου, ἕως σχῇ γλοιοῦ πάχος, ἐπίχριε τῷ πτερῷ καὶ ὠφελήσεις.